πραγματικῶς προσαγορευθῇ, κα[ὶ ὑπὸ Θεο]ῦ ἐλ̣ευ̣θ̣ε̣ρ̣ο̣υ̣μένη πρὸς παραδοχὴν σπερμάτων θείω̣[ν, καρπὸν] τελ̣εσ̣ιουργήσῃ ἑκατὸν, ἑξήκοντα, τριάκοντα. Καὶ ὃν γὰρ τ̣ρό[πον] ἐπὶ τ̣η῀ς γεωργουμένης γῆς ἡ μὲν ἑτοιμότερον α⋯ ⋯[ ⋯]⋯ ⋯⋯ καρπόν, ἡ δὲ βραδύτερον παρὰ τὴν ἐμ̣μέλειαν φέρει [το]υ῀ γεω̣ρ̣γο̣ῦ ἢ τὴν εἰδέαν τῆς γῆς, οὕτω καὶ ἐπὶ ψυχῶν α̣ἱ μὲν δεξά̣μεν̣α̣ι τ̣ὸ̣ν σπόρον ὑπὸ μεριμνῶν καὶ φροντίδων ἀπέπνιξαν τὸ σπέρμα, αἱ δὲ γεωργία̣ βελτίστῃ χρησάμεναι ἐπὶ τοσοῦτ̣ον ἐπαίδευ̣σ̣α̣ν, ὡς καὶ ἑαυτοὺς ὠφελῆσαι καὶ τοῖς ἄλλοις ἐκκεῖσθαι σκοπ̣ὸ̣ν̣ ὠφελίας. Πολ̣υειδὴς γὰρ καὶ ποικίλη ἡ τῶν Φυ̣τ̣ῶν διαφορά, καὶ ἀνώμαλος ἡ χειρίστη, παρὰ τὸν χρώμενον οὖσα τοιαύ̣τ̣η, ἥτις ἀμείνονα ἐπιδείξει τὴν ξηρὰν τῆς γῆς τῆς κακῆς· τὸ γὰρ εἶνα̣ί̣ τι ἀπόλλυσιν ἕως τῇ κακῇ φυτεία̣ ἐνέχεται. ι, 10. Κ̣α̣ὶ̣ εἶδεν ὁ Θεὸς ὅτι καλόν. Τ̣ὸ̣ γυμνωθη῀ναι τ̣ῶν ἐπικειμένων τὴν ξηράν, ἵνα γῆ 31 γένηται, καλὸν εἶδεν ὁ Θεός· ὡς πρὸς τὸ ῥητὸν πάλιν τοῦ[το δῆλον. Ἡ γῆ οὖ]ν κεκρυμμένη ὑπὸ τῶν ὑδάτων οὐκ ἦν ξηρά κα[ὶ οἷόν τε ἦν οὔ]τε ζῷα τρέφειν οὐδὲ καρποὺς φέρειν. Καιὸν ο[ὖν μετὰ τὴν κατά]στασιν κόσμου καὶ τὰ ζῷα εἶναι, ἐξ ὧν αἱ διαδ[οχαί, πρὸς τού]τοις καλὸν τὸ εἶναι φυτὰ καὶ δένδρα καὶ καρποὺς ἐ[δωδίμους, ὧν] μετελάμβανον τὰ ζῷα. Ἐπεὶ οὖν, ὡς καὶ πρότερ[ον εἴρηται, τ]ὴ̣ν ἀναλογίαν ἰδὼν ὁ Θεὸς ἀπεδέξατο καὶ ἐπῄ[νεσεν, διὰ τοῦτο] εἴρηται· "6Εἶδεν ὁ Θεὸς ὅτι καλόν"6, τοῦ εἶδεν οὔτ[ω νοουμένου ὡς] ἐντοῖς προλαβοῦσιν ἑρμη- νεύεται, ὅτι οὐχ ὁ[⋯ ⋯ ⋯ ⋯]ιν. Ὡς τὰ τεχνητὰ οἱ τεχνῖται καὶ πολλῷ μᾶ[λλ]ον [⋯ ⋯ ⋯⋯]ριτω ὑπερ- <β>ολῇ ὁ Θεὸς ὁρᾷ, οὐκ αἰσθήσει. ι 11. Καὶ εἶπεν [ὁ] Θεός· [Βλαστησ]άτω ἡ γῆ βοτάνην χόρτου. Διασταλεῖσα ἡ ὑπ̣[ο]κε̣ι̣μ[ένη γῆ τ]ῇ ὑγρᾷ οὐσία̣ ὠνομάσθη ξηρά, ἐπικληθεῖσα δὲ̣ γῆ. κ̣[αὶ δύναμιν] ἔχει πρὸς τὸ καρποφορεῖν. Παρατηρητέον δ̣ὲ ὅτ̣ι δι[' ὅλης τῆς κ]οσμοποιΐας τὸ εἶπεν ὁ Θεὸς πρόκειται καὶ ἐπο̣ί̣ησ̣ε̣[ν ὁ Θεός, δη]λοῦν τὸ δημιουργικόν· μάλιστα γὰρ διὰ ταύτης τῆς προσ[ηγο- ρ]ί̣α̣[ς τὸ] δημιουργικὸν δηλοῦται, ἡ δὲ Κύριος ὀνομασία ἄρχ̣ο̣ντος κ[αὶ β]ασί[λε]ως ἐμφαίνει σημασίαν. Καὶ "6ἐν ἀρχῇ"6 οὖν "6ἐποίησεν ὁ Θεὸς"6 εἴρηται, οὐχ ὁ Βασιλεὺς ἢ Κύριος, οὐχ ὅτι ἕτερός ἐστιν, ἀλλ' ὅτι ἐμφατικώτερον τὸ δημιουργὸν παρίστησιν τὸ Θεὸς ὄνομα. Ὅτε οὖν ἐντολὴ δίδοται τῷ Ἀδάμ, λέγεται· "6Ἐνετείλατο Κύριος ὁ Θεὸς τῷ Ἀδάμ"6, καὶ εἰκότως· κυρίου γὰρ καὶ βασιλέως ἐστὶν τὸ νόμους καὶ ἐντολὰς διδόναι. ι, 11. Καὶ εἶπεν οὖν ὁ Θεός· Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα. Τῶν γὰρ ἐκ τῆς γῆς φυομένων τὰ μέν ἐστιν δένδρα, τὰ δὲ λαχανώδη φυτά. Καὶ τὰ μὲν δένδρα κ̣α̣λ̣εῖν βουλόμενος Μωσῆς ἐν Δευτερονομίῳ τὰ οἰστικὰ ἀκροδρύων φησὶν ἁπ̣λ̣ω῀̣ς δένδρα τὰ ξύλινα, ξύλινα λέγων τὴν ἄμπελον, τὴν συκῆν, τὴν ἐ̣λ̣α̣ί̣α̣ν̣, δῆλον δὲ ὡς κ[α]ὶ ὅσα βότανα τοῖς πολλοῖς 32 ἀνθρώπο̣ις οὐ πάνυ ⋯ ⋯ ⋯⋯[⋯ ⋯ ⋯ ⋯ ⋯] ⋯ ⋯τ̣ο̣ι̣῀ς περὶ τὰς τῶν σωμάτων ἰατρείας ἔχου[σιν⋯ ⋯ ⋯ ⋯] ⋯⋯αν, καθὸ καὶ Σολομὼν δεικνὺς τὸ τούτων [ὠφέλιμον ἀπὸ Θεοῦ] τὴ̣ν̣ εἴδησιν αὐτῶν εἰληφ[έ]ναι φησὶ λέγων· "6[Αὐτὸς γάρ μοι ἔδω]κ̣ε̣ν̣ τ̣ω̣῀ν̣ ὄντων γνῶσιν ἀψευδῆ εἰδέναι σύστα[σιν κόσμου καὶ ἐ]ν̣έργε̣ι̣α̣ν σ̣τοιχείων"6 καὶ μετ' ὀλίγα "6διαφορὰς φυ[τῶν καὶ δυνάμεις] ῥ̣ιζῶν"6 κ̣αὶ τὰ παραπλήσια, οὐκέτι ξυλίνων λέ[⋯ ⋯ ⋯ ⋯ ⋯]ρ⋯⋯, ἐ̣νταῦθα δὲ βοτάνην χόρτου λέγει πάν[τα τὰ λαχανώδη, ἅπερ καὶ] χόρτ̣ος ἀγροῦ λέγεται, καθὰ καὶ ἐν τῷ εὐαγγε[λίῳ ⋯ ⋯ ⋯ ⋯ ⋯⋯] [⋯ ⋯ ⋯ ⋯ ⋯] ⋯ ⋯ καθόλου φυτόν, δηλοῖ δὲ διὰ τοῦ καθ' ὁμοι[ότητα τὸ εἶδος. Ὅ]τι δ̣ὲ̣ κ̣αὶ ἡ γραφὴ οἶδεν τὸ σημαινόμενον τοῦ [εἴδους, φ]ησί̣ν̣· "6Ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε"6, [τὸ εἶ]δος κυ̣ρ̣ί̣ω̣ς λέγων, πολλάκις δὲ καὶ ἀντὶ μορφῆς λέ[γει· "6Κα]ὶ̣ εἴδομεν αὐτὸν καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος"6, καί· "6[Διὰ πίστεως γὰρ] περιπατοῦμεν, οὐ διὰ εἴδους"6, σημαίνων [ὅτι ὁ μὴ δι]ὰ̣ μ̣ορφη̣῀ς γ[ιγ]νώσκων διὰ πίστεως περιπατεῖ, ὁ δὲ γε[⋯]·[⋯]ς διὰ εἴδ̣ο̣υ̣ς. Εἰπὼν οὖν περὶ τῶν χαμαιζήλων φυ[τῶ]ν̣ "6σ[πε]ι̣῀ρ̣ο̣ν̣ σ̣πέ̣ρ̣μ̣α̣ κατὰ γένος"6, ἐπάγει περὶ τῶν δένδρων τ̣ὸ̣ "6ξύλ[ον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΠΤΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κ[ά̣ρ̣π̣ι̣μον ποιοῦν καρπόν"6· παντὸς γὰρ φυτοῦ ἐν αὐτῷ ἡ τ̣ο̣υ̣ ͂ σπέρματ̣ο̣ς φύσις, ὡς τὰ μὲν αὐτῶν εἶναι ἐδώδιμα, τὰ ···α ἢ εἰς ἑτ̣έρ̣α̣ς χρείας λυσιτελοῦντα, τὰς μὲν καὶ ἀνθρώποις γν̣ω̣σ̣τ̣άς, τὰ<ς> δ̣ὲ μόνῳ Θεῷ. Ταῦτα μὲν πρὸς τὸ ῥητόν, τὰ δὲ τῆς α̣ʼλ̣λ̣ηγορίας τοῦτον ἔχειν τρόπον ἡγοῦμαι. Δημιουργήσας ὁ Θ̣ε̣ο̣͂ς τὸν ἄνθρωπο̣ν εὔ̣θη ἐπὶ τῷ τὰς ἀρετὰς καρποφορεῖν καὶ τὴν γνῶσ̣ι̣ν̣ τῆς ἀληθείας περὶ πολλοῦ ποιεῖσθαι ἐνῆκεν αὐτῷ ἐννοίας ἀγ̣α̣θ̣ά̣ς, ἐξηνέχ̣θη δὲ ἡ κατὰ τὴν ἀναγωγὴν γῆ ἀπὸ τῆς ἰδίας γνώμης ···· ἀκάν<θας> σπειρ̣ήσαντος τοῦ ἀνθρώπου ἐκ παραβάσεως. Ὅσοι γοῦν θείαν δ̣ι̣δ̣α̣σκαλίαν παραδεξάμενοι οὐ πρόσεσχον τῇ σπορᾷ τοῦ λόγου ἀκούουσιν· 33 "6Σπείρατε πυροὺς καὶ ἀκάνθας θερίσατε."6 Μ̣ὴ γᾶ̣ρ διὰ τοῦτο ἐσπάρη ἵνα ἄκανθαι θερισθῶσιν α··· ····[····]· τοῦτο μὴ καλῶς αὐτοὺς γεγεωργηκέναι μηδὲ ····υ̣κ̣[····] ··· ··· ··θῆναι τῆς εὐλογίας ἧς ηὐλόγησεν Ἰ̣α̣κ̣ῶ̣β̣ τ[ὸν υἱὸ]ν̣ λέγων· "6Ἰδοὺ ὀδμὴ τοῦ υἱοῦ μου ὡς ὀδμὴ ἀγροῦ πλ[ήρο]υ̣ς ὃν ηὐλόγησεν Κύριος"6· ὁ δὲ καλῶς ἑαυτοῦ ἄγων τὴν φυ̣τ̣[εί]α̣ν α̣ʼ̣κ̣ο̣ύσεται καθὰ καὶ ἡ νύμφη· "6Κῆπος κεκλεισμέ̣ν̣[ος ἀδελ]φή μου νύμφη."6 Τὸ δὲ "6καὶ ἐγένετο οὕτως"6 καὶ τὰ ἑξῆς ἀνταπ[οδόσε]ως ἕνεκα εἴρηται. ι, 12. Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. Σ̣ημειωτέον ὅτι, δύο προσταχθέντων καὶ γεν̣[ο]μ̣ένω̣ν, ὡς περῖ̣ ἑνὸς λέγεται· "6Εἶδεν ὁ Θεὸς ὅτι καλόν."6 Εἰς γὰ[ρ] τὸ τέλος καὶ τὸν σκοπὸν ἀναφορᾶς οὔσης εἴρηται "6εἶδεν ὁ Θεὸς ὅτι καλόν"6· δι<ὰ> γὰρ τοὺς ἀνθρώπους ἡ βοτάνη ἐβλάστησεν καὶ τὰ ἄλλα. Ἔφη̣ν δὲ τὸ ἐν αἰσθητοῖς ἔχον τὴν ἀναλογίαν καλόν, πόσῳ <μᾶλλον> τὸ ἐν ἀρεταῖς καὶ ἁρμονία ψυχῆς εὖ βιούσης καὶ λογικοῦ τὰ αἱρετὰ αἱρουμένου καὶ πρὸς τὸ τέλος τῆς ἀρετῆς σπεύδοντο[ς]. ι, 14–19. Καὶ εἶπεν ὁ Θεός· Γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ εἰς φαῦσιν τῆς γῆς καὶ διαχωρίζειν ἀνὰ μέσον τῆς ἡμέρας καὶ ἀνὰ μέσον τῆς νυκτός, καὶ ἔστωσαν εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ ἡμέρας καὶ εἰς ἐνιαυτούς, καὶ ἔστωσαν εἰς φαῦσιν ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ ὥστε φαίνειν ἐπὶ τῆς γῆς· καὶ ἐγένετο οὕτως, ἕως τοῦ καὶ ἐγένετο ἡμέρα τετάρτη. Ἀρχόμενοι τοῦ βιβλίου ἐλέγομεν ὅτι δραστήριος οὐσία ὢν ὁ Θεὸς ἅμα βούλεται καὶ ἔστιν ἃ θέλει εἶναι· οὐ γὰρ οἷόν τε ἐπ' αὐτοῦ τὰς ἐνεργείας πρὸ τῆς ὑπάρξεως εἶναι, ὡς ἔχει ἐπὶ τῶν ἀνθρωπίνων τεχνῶν. μετὰ γὰρ τὸ ἐνεργῆσαι τὸ ἔργον ἐστὶν καὶ μετὰ τὴν οἰκοδομὴν ἡ οἰκία· οὐ γὰρ 34 ἐν τῷ οἰκοδομεῖσθαι ἡ οἰκία οὐδὲ ἐντῷ ναυπηγεῖσθαι ἡ ναῦς· χρόνῳ γὰρ αὗται αἱ ἐνέργειαι συμμετροῦνται. Ὁ δὲ Θεὸς ἀχ[ρ]ό[ν]ως ἐνεργεῖ ἄγων εἰς τὸ εἶναι ὃ βούλεται· οὐκ ἄρα ἑπομένη κα̣[····]·υμένη ἔσται ἐνέργεια. Ἅμα οὖν βεβούληται εἶναι τοὺς φωστῆ̣ρ̣[α]ς, καὶ εἴσιν, καὶ ἅμα ἐθέλησεν τὸ ὕδωρ συναχθῆναι εἰς συναγω[γὴ]ν μίαν, πεπλήρωται τὸ πρόσταγμα, καὶ ἐν τῷ εἰπεῖν "6Γενη- θήτω σ̣τ̣ερέωμα"6 ὑπῆρκται τοῦτο. Διόπερ ταύτῃ τῇ ἐννοίᾳ ἑπόμενον [···· πε]ρ̣ῖ̣ τῶν ἓξ ἡμερῶν δεῖ νοεῖν ὡς οὐ χρονικῆς ἕνεκα παρ[εκτάσε]ως παρειλημμένων, ἀλλὰ λόγου οἰκείου τῇ δημιουργίᾳ το[ῦ Θεοῦ] καὶ τῆς τοῦ ἀριθμοῦ δυνάμεως. Πρῶτος γὰρ ὁ ἓξ τελείων ἐ[στί]ν· τελείους δὲ ἀριθμούς φασιν τοὺς ἐκ τῶν ἑαυτῶν με[ρ]ῶν ἀ[π]αρτι- ζομένους, τέσσαρες δὲ μόνοι εἰσὶν ἀπὸ μονάδος ἕως μυρίων. Πρῶτος οὖν ἐστιν ὁ ἓξ, οὗ ἥμισυ τρία, τρίτον δ[ύ]ο, ἕκτον ἕν, ὧν συντεθέντων ὁ ἓξ ἀποτελεῖται. Ὡσαύτως ἔχει καὶ ὁ εἴκοσι ὀκτώ· ἥμισυ γὰρ τούτου δέκα τέσσερα, τέταρτον ἑπτά, ἕβδομον τέσσερα, τεσσερεσκαιδέκατον δύο, εἰκοστοόγδοον ἕν, ἅπερ πάλιν συντεθέντα τὸν εἴκοσι ὀκτὼ ἀποτελεῖ. Καὶ ἕτεροι δὲ πρὸς τούτοις εἰσὶν δύο· ἐὰν δὲ ἑτέρους παρὰ τοὺς τελείους συνθήσῃ, λείπουσιν ἢ ὑπερβάλλουσιν, οἷον ἐπὶ τοῦ ὀκτὼ θεωρητέον· ἥμισυ τέσσερα, τέταρτον δύο, ὄγδοον ἕν, ἅπερ πάλιν συντεθέντα ἐλάττονα ἀριθμὸν φέρει. Καὶ ὁ δώδεκα δὲ συντεθεὶς ὑπερβάλλει· ἥμισυ αὐτοῦ ἕξ, τρίτον τέσσερα, τέταρτον τρία, ἕκτον δύο, δωδέκατον ἕν. Καλοῦσιν οὖν οἱ περὶ ταῦτα ἔχοντες τοὺς ἐλλείποντας ὑποτελεῖς, ὑπερτελεῖς δὲ τοὺς πλεονάζοντας, τελείους δὲ τοὺς ἐξ ἑαυτῶν ἀπαρτιζομένους. Ἔδει οὖν τὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Θεὸν τέλειον δημιούργημα ποιοῦντα ἐν τελείῳ πρώτῳ ἀριθμῷ εἰς ὑπόστασιν αὐτὸ ἀγαγεῖν, οὐχ ἵνα πάντως εἴπωμεν ὅτι ἑξάκις τοῦ ἡλίου κυκλεύοντος ἡμέραι ἓξ διεγένοντο, –οὔπω γὰρ ἦν γενόμενος ἥλιος ἐν ταῖς πρώταις τρισίν, –ἀλλ' ὅτι λόγου καὶ ἁρμονίας χάριν ὁ ἓξ ἀριθμὸς παρειλ̣ή́μφθη. 35 Παρίστησιν δὲ τὴν ἔννοιαν ταύτην ἀκριβῶς αὐτὸς Μωσῆς τὴν ἐπανακεφαλαίωσιν ποιούμενος τῶν γεγονότων λέγων· "6Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς ὅ̣τε ἐγένετο ᾗ ἡμέρᾳ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν."6 Ὅλως γὰρ οὔτε ἐν ἡμέρᾳ γέγονεν ὁ οὐρανὸς καὶ ἡ γῆ, ἀλλ' "6ἐν ἀρχῇ"6, οὔτε τὰ πάντα ἐν μιᾷ ἡμέρᾳ ὑπέστησαν, ἀλλὰ δῆλον ὡς, ἅμα τῶν πάντων γεγενημένων, τάξεως ἕνεκα καὶ̣ ἁρμονίας ὁ ἀριθμὸς οὗτος, ὡς εἴρηται, παρεί- ληπται, καὶ π[ρὸ]ς [τ]ο̣[ύ]τῳ διὰ τὸ ἡμῶν ἀσθενὲς καὶ μὴ ἑτέρας δύνασθαι νοεῖν [ἢ τρόπῳ] τινὶ ἡμῖν καταλλήλῳ. Καὶ ἔστω ἀπὸ παραδείγματος σαφὲ[ς τὸ λ]εγόμενον. Τὸ σῶμα ἡμῶν ἅμα τῇ ὑποστάσει καὶ χρῶμ[α κ]αὶ μέγεθος ἔχει, καὶ οὐκ ἐν χρόνῳ διεστῶτι ἀλλήλων κεχωρισμένα ὑπέστη καὶ πλὴν τῇ ἐπινοίᾳ τὸ μὲν αὐτῶν πρότερον, τὸ δὲ ὕστερόν ἐστιν. Οὕτω καὶ ὁ ἐν τάξει γενόμενος κόσμος οὐ χρόνῳ ἀλλὰ τ[ῇ] ἁρμονίᾳ συντετέλεσται. Οὐδὲ γὰρ μέρος κόσμου τις δυνήσεται ἐννοεῖν πρὸς τὰ ἄλλα μὴ συντρέχον ἕως τὰ λοιπὰ ὑπάρχῃ. Καὶ οἱ φωστῆρες δὲ ἐν τετάρτῃ ἡμέρᾳ γ̣ενόμενοι ἅτε τίμιοι δεικνύουσιν ὅτι διὰ τὸν περὶ αὐτοὺς λόγον ἐν ταύτῃ εἴρηνται γεγενῆσθαι. Ἡ γὰρ τετρὰς δυνάμει οὖσα δέκα ἐπὶ τιμίας ὑπάρχει· διὰ πάσης γὰρ γραφῆς ἡ δεκὰς ὑμνεῖται. Ὅτι δὲ οὐκ, ἐὰν ἀριθμός τις ἐν τοῖς θείοις γράμμασιν σημαίνητ̣α̣ι, τὸ πλῆθος δηλ̣ο̣ι῀ πάντως, ἀλλὰ λόγον, ἐκ τοῦ ε̣ἰ̣ρημένου πρὸς τ̣ο̣υ̣῀ Θεοῦ ἔστιν νοῆσαι· "6Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδ̣ρας οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βαάλ."6 Εἰ γὰρ τοσοῦτοι ἐτύγχ̣ανον, οὔτ' ἂν ὁ προφήτης εἶπεν· "6Ἐγὼ ὑπολέλειμμαι μονώ- τατος"6, ο̣ὔ̣τε πρὸς ἀλλήλους εἶχον τὸ ἀμιγές· οὐ γὰρ ἑαυτοὺς ἔφευγον. Λ̣ό̣γος τίμιος ὁ περὶ τὴν ἑβδομάδα ὤν– ἀμήτωρ γὰρ αὕτη καὶ ἀπάτω̣ρ–ὑποβάλλει νόη̣σιν ὅτι τῆς αὐτῆς εἰσι τῆς δυνάμεως οἱ ἅγιοι, κἂν ε̣ἰ̣῀ς ὑπάρχωσιν, 36 θεῖόν τι καθεστῶτες καὶ ὑπεράνθρωπον θεωρ̣ίᾳ καὶ βίῳ. Ἀλλὰ καὶ ἐν τῇ Ἀποκαλύψει ὁ Ἰωάννης λέγων ¯ρ¯μ¯δχιλιάδας ἀνδρῶν ἕπεσθαι τῷ ἀρνίῳ, ὅ ἐστιν ὁ Σωτήρ, καὶ ταῦτα παρθένων μετὰ γυναικῶν μὴ μολυνθέντων, δείκνυσιν ὅτι λόγος τις περὶ τὸν ἀριθμὸν τοῦτον τίμιός ἐστιν· οὐδὲ γὰρ οὕτω τοσοῦτο πλῆθος παρθένων ἔτι τοῦ Ἰωάννου ἐν βίῳ ὄντος εἴποι τις ἂν ἐκ τῶν πεπιστευκότων συνῆχθαι, τάχα μηδὲ αὐτῶν τοσ[ούτων] ὄντων. Λέγομεν οὖν ὅτι ἐν ἑξάδι ὁ κόσμος γέγονεν δι[ὰ τὴν π]ροειρημένην αἰτίαν, καὶ τῇ τετάρτῃ οἱ φωστῆρες διὰ τ[ὸ πρ]οειρημένον, ὅτι ἡ τετρὰς δυνάμει δεκὰς οὖσα ἔχει τὸ τί[μιο]ν. Καὶ γὰρ δέκα λόγους Μωσῆς δέδωκεν καὶ δέκαται παρέχονται· καὶ ἄλλα δὲ προνόμια τῆς δεκάδος εὕροι τις. "6Γενηθήτωσαν"6 οὖν "6φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ."6 Καὶ τοῦτο παιδεύει πρὸς τὸ μὴ θεοὺς αὐτοὺς εἶναι, καθὰ Αἰγυπτίοις ἠπατημένοις ἔδοξεν. Καλῶς δὲ ἐν τῷ στερεώματι καὶ οὐχ ὑπὲρ τὸ στερέωμα· τῶν γὰρ ὁρωμένων ταῦτα. Καὶ ἔργον δὲ αὐτῶν φησιν τό τε ἐπὶ γῆς φαίνειν καὶ τὸ "6διαχωρίζειν ἀνὰ μέσον τῆς ἡμέρας καὶ ἀνὰ μέσον τῆς νυκτός"6· ἡ γὰρ ἀνατολὴ τὴν ἡμέραν, ἡ δὲ δύσις τὴν νύκτα ποιεῖ. Ἕτερον δὲ αὐτῶν ἔργον τὸ εἶναι αὐτοὺς εἰς σημεῖα· πολλὰ γὰρ σημαίνουσιν οἱ ἀστέρες καὶ αὐτὸς ὁ ἥλιος· σημαίνουσιν δὲ οὐχ ὡς ποιοῦντες ἀλλ' ὡς φανε- ροῦντες. Οἱ δὲ τὴν εἱμαρμένην εἰσηγούμενοι ποιητὰς αὐτοὺς τίθενται λέγοντες ὅτι εἰ ὅδε πρὸς τόνδε συνδράμοι τάδε ποιεῖ, ἀλλ' οὐχ οὕτως, ἀλλ' ἵνα σημαίνωσιν ὥρας, μῆνας, ἐνιαυτούς· οὐ τὸ σημαῖνον δὲ ποιητικόν. "6Καὶ ἔστωσαν"6 γάρ φησιν "6εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς ἐνιαυτούς"6, ἅπερ σημαίνει τὰς ἐτησίους ὥρας, τὴν ἐαρινήν, τὴν χειμε- 37 ρινὴν καὶ τὰς ἄλλας· ἐν γὰρ τῷδε τῷ κλίματι ὢν ὁ ἥλιος ἢ τῷδε ταῦτα ποιεῖ. Εἰ δὲ λέγοιεν οἱ περὶ τὰ μαθήματα, συντρέχοντες τῷ εἰς σημεῖα αὐτὰ εἶναι, ὅτι καὶ οὕτως ὁ τῆς εἱμαρμένης εἰσάγεται



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λόγος, οὐδ' οὕτω μὲν ἂν ἔχοι αὐτοῖς πιθανότητα· ἄλλως δὲ οὐδὲ δυνατὸν ἀνθρωπίνῃ φύσει καταλαβεῖν τὰ τοιαῦτα σημεῖα, τοῦ πόλου καὶ κατ' αὐτοὺς ὀξύτατα κινουμένου, δι' ὃν ἀμήχανον λαβεῖν τὴν ὥραν τοῦ ἀποτεχθέντος. Τὸ δὲ "6καὶ ἐγένετο οὕτως"6, ἀνταποδοτικὸν ὄν, δείκνυσιν ὅτι τοῦτ' ἐποίησεν ὁ Υἱὸς ὅπερ ὁ Πατὴρ ὑπο- στῆ[ναι ἐ]θέλησεν. Καὶ γάρ, οὐκ εἰρημένου πόσοι γένωνται φωστ[ῆρες], ἐπηνέχθη· "6Καὶ ἐποίησεν ὁ Θεὸς τοὺς δύο φωστῆρας"6· οὕτως [ἡ αὐτ]ὴ καὶ βούλησις καὶ ἐνέργεια Πατρὸς καὶ Υἱοῦ. Ἀνὰ μέρος δὲ καὶ [αἱ] ἀρχαὶ τῶν φωστήρων ἐγένοντο, τοῦ μὲν ἡλίου τῆς ἡμέρας, σελήνης δὲ καὶ τῶν ἄλλων ἄστρων νυκτὸς ἡγουμένων. Οὕστινας ἔθετο, οὐ δηλοῦντος τοῦ ἔθετο ταὐτὸν τῷ ἐποίησεν, οὐδὲ ὅτι πρῶτον γενόμενοι ὕστερον ἐτέθησαν, ἀλλ' ὅτι ἡ ἔννοια ὑποβάλλει λόγῳ πρώτην εἶναι τὴν γένεσιν τῆς θέσεως· τὸ μὲν γὰρ ὑποστῆσαί ἐστι, τὸ δὲ ἁρμόσαι πρὸς τὰ ἄλλα τοῦ κόσμου μέρη. Καὶ τοῦτο δὲ τοῖς εἰρημένοις προσκείσθω, ὅτι δεόντως ἓξ ἡμέρας εἶπεν καὶ οὐχ ἓξ ὥρας ἢ μῆνας ἢ ἐνιαυτούς· τὸ μὲν γὰρ μῆνας ἢ ἐνιαυτοὺς εἰπεῖν βραδύτητα ἐνέφαινεν, τὸ δὲ ὥρας ἀδιανόητον ἐδόκει· ὁ γὰρ μὴ ἐπιστάμενος τί ἡμέρα οὐδὲ τί ὥρα οἶδεν. Τελείου οὖν ἀριθμοῦ μνημονεύων εἰκότως καὶ ἡμέρας παρείληφεν καὶ καταλλήλως. Ἅπερ πάλιν "6εἶδεν ὁ Θεὸς"6 ὡς καλῶς γεγένηνται, τοῦ "6εἶδεν ὁ Θεὸς"6 οὕτως ὡς ἐν τοῖς φθάσασιν νοουμένου. Ταῦτα μὲν οὖν σαφηνίζοντες τὸ ῥητὸν εἴπομεν, τὰ δὲ πρὸς ἀναγωγὴν ταῦτα ἂν εἴη. Ἐλέγετο πρὸ τούτων ὅτι 38 τὸ "6γενηθήτω φῶς"6 εἰς τὸν Σωτῆρα ἀνάγειν δεῖ, οὐχ ὡς ἐκ τοῦ μὴ ὄντος ὑποστάντα, ἀλλ' ὡς ἁρμοζόμενον τοῖς φωτιζομένοις. Καὶ ἐπὶ τῶν φωτιζομένων, οἱ μὲν ἐπ' ἔλαττον, οἱ δὲ ἐπὶ πλεῖον τὸν φωτισμόν, δέχονται δέ· παρὰ τούτους εἰσὶν οἱ ἐν νυκτερινῇ καταστάσει τυγχάνοντες. Γίνονται τοίνυν καὶ νῦν φωστῆρες ἐπίνοιαι τοῦ Υἱοῦ, καθὰ ἀκόλουθον ἰδεῖν τὸ βούλημα τοῦ νῦν προκειμένου· ἁρμόζεται πρὸς τὸ ἑκάστου μέτρον, τοῖς μὲν ἀνηγμένοις ἥλιος δικαιοσύνης γινόμενος, τοῖς δὲ ἐλάττοσιν συμμε[τρούμε]νος καὶ τὸν σελήνῃ ἀναλογοῦντα φωτισμὸν Πνεύ[ματ]ος παρέχων. Εἶεν δὲ καὶ οἱ ἐν νυκτὶ φωτιζόμενοι ὅσοι [τέ]λειοι ὄντες τῇ τοῦ σώματος χρείᾳ ἀναγκαίως ἐνδιδόασιν· ὁ γὰρ τέλειος, εἰ καὶ οὕτως ἐστίν, ὁμῶς, ἐπειδὴ σῶμα ἔχει, καὶ τρέφεται καὶ τὰς ἄλλας χρείας τοῦ σώματος ὑπομένει, ἃς καὶ αὐτὰς μὲν ὡς τέλειος ποιεῖ, διὰ τοῦτο γὰρ καὶ φῶς ἔχει, φῶς δὲ νυκτερινὸν τὸ τοιοῦτόν ἐστιν, ἐπεὶ ὁ τόνος ὁ τοσοῦτος παρὰ τὰς τοῦ σώματος χρείας, εἰ καὶ μὴ ἀπόλλυται, ἀλλ' ἐν ἀνέσει τυγχάνει. Καὶ ὥσπερ ἡ σελήνη αὐτὴ κατά τινας ἐκ τοῦ ἡλίου δέχεται τὰς αὐγὰς καὶ γίνεται δεύτερον φῶς χορηγούμενον ἀπὸ τοῦ μείζονος, οὕτω καὶ ἡ ἐκκλησία φῶς ἐστιν τοῦ κόσμου. Ἀμέλει γοῦν τοῖς ἑαυτοῦ μαθηταῖς Κύριος εἶπεν· "6Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου"6, οὐχ ἡλιακόν, –αὐτὸς γὰρ ἦν ὁ ἥλιος τῆς δικαιοσύνης, –ἀλλ' ἔλαττον καὶ ὑπ' αὐτοῦ χορηγούμενον. Ἀλλὰ καὶ ὁ ἀπόστολος λέγων "6Ἐν οἷς ἐστε ὡς φωστῆρες ἐν κόσμῳ"6 δείκνυσιν ὅτι μετεσχηκότες τοῦ ἀληθινοῦ φωτὸς φῶς εἰσι κόσμου· ἐπάγει γάρ· "6Λόγον ζωῆς ἐπέχοντες"6. Καὶ εἴη ἂν ἡ ἐν 39 τούτοις αὐτοῦ τοῦ φωτὸς σχέσις σελήνη· οὐ γὰρ εἶπεν "3ὑμεῖς ἐστε τὰ φῶτα"3, ἀλλὰ τὸ φῶς· ἑνότητα γὰρ πάντες πρὸς ἑαυτοὺς ἔχοντες οὕτω φῶς ἕν εἰσι, ἐκκλησία ὄντες. Καὶ οἱ ἀστέρες δὲ τούτων ἂν ὑπάγοιντο τῷ Λόγῳ ὑπεραναβεβηκότες τοὺς ἄλλους κατὰ τὴν ἀλληγορίαν, οὓς καὶ φωτίζουσιν. Οἵτινες ἂν εἶεν προφῆται πρὸ τῆς ἀνατολῆς τοῦ ἡλίου αὐγὴν ἐκπέμποντες τὴν τῆς προαναφωνήσεως. Ἐκεῖνος γοῦν ἀνατείλας κατηύγασεν τὸ ὅλον, καὶ ἓν φῶς τὰ πάντα ἀπέδειξεν [διὰ τὸ] τοὺς μετέχοντας φῶς ἀποδειχθῆναι τέλειον. Εἴρη[ται γὰρ] ὅτι ἐκλάμψουσιν οἱ δίκαιοι "6ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τ[οῦ] πατρὸς ἑαυτῶν"6, οὐχ "3ἥλιος"3, ἀλλ' ὡς ὁ ἥλιος, καθὰ καὶ ἐν τῷ Ἄισμ[α]τι εἴρηται περὶ τῆς μετασχούσης τοῦ φωτός· "6Τίς αὕτη ἡ ἐκκύπτουσα ὡσεὶ ὄρθ<ρ>ος καλή, ὡς σελήνη ἐκλεκτή, ὡς ἥλιος θάμβος;"6 Καὶ θεώρει ὅτι προκοπαί



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τινες διὰ τούτων δηλοῦνται· πρῶτον γὰρ ὄρθ<ρ>ος γίνεται, ἔπειτα ὡς σελήνη ἐκλεκτὴ ἀντὶ τοῦ πλήρης καὶ ἀνελλιπὴς κατὰ τὴν πλησιφαῆ, –εἰ γὰρ καὶ ἡ αὐτή ἐστιν, διχότομός τε οὖσα καὶ μηνοειδὴς καὶ ἀμφίκυρτος, ἀλλ' ἡ τελεία αὐτῆς κατάστασις ἡ κατὰ τὸ πλησιφαές ἐστιν, ᾧ τὴν νύμφην εἰκάζει–, μεθ' ἃ καὶ ὡς ἥλιός ἐστιν αὕτη, θάμβος διὰ τὴν πολλὴν προκοπὴν καὶ ἕνωσιν. Οἱ οὕτως γινόμενοι φῶς οὐκ ἐκ κατασκευῆς εἰσιν τοιοῦτοι, ἀλλ' ἐκ μετουσίας τοῦ ἀληθινοῦ φωτός. Οἳ καὶ χωρίζουσι "6ἀνὰ μέσον τῆς ἡμέρας"6 καὶ "6ἀνὰ μέσον τοῦ σκότους"6, τὴν κακίαν καὶ τὴν ἀρετὴν διαιροῦντες, καὶ οὕτω καταλάμποντες τοὺς ἐπὶ γῆς, οἵτινες οὔπω διὰ πράξεως οὐράνιοί εἰσιν. Σημαίνουσίν τε καιροὺς καὶ ἡμέρας καὶ μῆνας καὶ ἐνιαυτοὺς καταλλήλους, τὸ μέτρον ἑκάστου 40 γνωρίζοντες καὶ πῶς ἔχει ὅδε πρὸς παίδευσιν, καθὰ καὶ τὸν ἰατρόν φαμεν λέγειν εἶναι καιρὸν τροφῆς πρὸς τὸ πῶς ἔχει ὁ τρεφόμενος σκοποῦντα· καὶ γὰρ ἐσθότε νυκτὸς τρέφει ὁ τῇ ἰατρικῇ χρώμενος. Σημαίνει οὖν ὁ ἥλιος δικαιοσύνης καὶ ἡ σὺν αὐτῷ λεχθεῖσα σελήνη καὶ οἱ ἀστέρες καιρὸν τοιοῦτον οἷον καιρὸν μαθημάτων, καιρὸν προκοπῆς, καιρὸν εἰσαγωγῆς, σημαίνουσιν δ[ὲ καὶ] αὐτὰ τὰ πράγματα, –ὅταν γὰρ φωτισθῇ τις, καθαρὰ [αὐτ]ὰ τὰ ὑποκείμενα πράγματα–, οὐ τότε τοῦ ἡλίου τῆ[ς δι]καιοσύνης ὑποστάντος ὅτε καὶ σημαίνει, ἀλλ' ὄντος ἀϊδίως, σημαίνοντος δὲ ὅτε οἱ προ- σίοντες χειραγωγίας δέονται. Διὸ καὶ ἐν τετάρτῃ ἡμέρᾳ γεγενῆσθαι λέγονται, τοῦ γεγενῆσθαι κατ' ἀλληγορίαν τὴν πρὸς τὰ λογικὰ σχέσιν δηλοῦντος. Ὡς γὰρ προείρηται, ἐν δυνάμει ὄντες ἀρετῆς, χρῄζομεν τῶν ἐναγόντων εἰς αὐτὴν ἐνέργειαν τῶν ἀρετῶν, ἥτις ἐκ τετράδος εἰς δεκάδα ἔρχεται. Δυνάμει γὰρ δεκὰς ἡ τετράς, ὡς ἤδη δέδεικται· κατὰ γὰρ τὴν τῆς τετράδος σύνθεσιν ἡ δεκὰς ἀπαρτίζεται. Στερέωμα δέ, ἐν ᾧ οἱ φωστῆρες γίνονται, τὴν πίστιν ἐκδεκτέον καὶ τελείαν ἀρετήν, ἣν ἔχων ὁ ψαλμῳδὸς ἔλεγεν· "6Καὶ ἐγένετο Κύριος ἀντιστήριγμά μου."6 Καὶ περὶ τῆς ἐκκλησίας λέγεται· "6Τίς αὕτη ἡ ἀναβαίνουσα, ἐπι- στηριζομένη ἐπὶ τὸν ἀδελφιδὸν αὐτῆς;"6 Ἄνευ γὰρ τοῦ Λόγου οὐχ οἷόν τε εἶναι τὴν ἐκκλησίαν· οὗτος γὰρ ταύτης στήριγμα καὶ θεμέλιος ὑπάρχει. Οὗτοι δὲ αὐτοὶ οἱ φωστῆρες εἰς σημεῖά εἰσιν, κατὰ μὲν τὸ ῥητὸν πολλάκις ἢ βασιλείαν σημαίνοντες ἢ αὐχμοὺς 41 ἢ ἐπομβρίας ἤ τι τῶν ἄλλων κατὰ τὸ χρήσιμον μεγάλων, κατὰ δὲ ἀναγωγήν, ὡς εἴρηται, τὰς προκοπάς, πολλάκις δὲ καὶ τὴν τῆς ψυχῆς ἐρημίαν· καὶ τοῦτο γὰρ ὑποδει- κνύουσιν οἱ φωστῆρες κατ' ἀλληγορίαν. Οὗτοι δὲ καὶ τοὺς ἐπὶ γῆς φωτίζουσιν· ὅσοι γὰρ μὴ δύνανται ἀκράτου τοῦ τελείου φωτὸς μετασχεῖν διὰ τοῦ τῶν ἁγί[ων] φω[τ]ίζονται. Καὶ Μωσῆς τοῦτο διδάσκων φησίν· "6Κἀγὼ ἔστην [ἀ]νὰ μέσον Κυρίου καὶ ὑμῶν"6, τὰς ὑμῶν ἱκεσίας τῷ Θεῷ ἀναφ[έρ]ων, τὰς δὲ παρ' αὐτοῦ χάριτας διακονῶν ὑμῖν. Οὕτω καὶ ὁ Σωτὴρ ἄνθρωπος γενόμενος μεσίτης ἐστὶν Θεοῦ καὶ ἀνθρώπων· Θεὸς γὰρ ὢν τῷ Πατρὶ ἡμᾶς συνάπτει, ἄνθρωπος δὲ γενόμενος τρόπον τινὰ ὡς φιλάνθρωπος ἅπερ ἤκουσεν παρὰ Πατρὸς ταῦτα καὶ λαλεῖ ἡμῖν. Τῶν ὑποδεεστέρων τοῦ ἡλίου φώτων εἴη ἂν καὶ ὁ νόμος, περὶ οὗ εἶπεν ὁ ψαλμῳδός· "6Λύχνος τοῖς ποσίν μου ὁ νόμος σου"6, δηλῶν ὅτι φωτίζει ὁ νόμος τὰς προκοπὰς καὶ διαβάσεις τῆς ψυχῆς. Οὕτω φωτισθεὶς καὶ Παῦλός φησιν· "6Ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν"6· ἐν Χριστῷ γὰρ ὄντες οἱ τοιοῦτοι αὐτοῦ εἰσιν λέγοντες ἕκαστος· "6Ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός"6, καί· "6Οἶδα ἄνθρωπον ἐν Χριστῷ."6 Οὕτω γὰρ φῶς ἐκ φωτὸς γίνονται, ὥστε διὰ τῆς διδα- σκαλίας φωτίζειν τοὺς ἄλλους. Δεῖ δὲ τὸ ἔθετο ὡς σημαῖνον τὸ "3ἀποδείξαι"3 ἐκλαβεῖν ὡς ἐὰν λέγηται περὶ τοῦ Σωτῆρος ὅτι ὁ Πατὴρ αὐτὸν ἔθετο κληρόνομον πάντων ἀντὶ τοῦ "3ἀπέδειξεν"3· οὐ γὰρ ὕστερον πεποίηκεν αὐτὸν κληρόνομον, ἀλλ' ὄντα ἐφανέρωσεν. "6Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν."6 Καλὸν γὰρ καὶ τὸ ὑπὸ αἰσθητοῦ φωτίζεσθαι φωτός, καὶ πολλῷ πλέον ὑπὸ νοητοῦ. ι, 20–23. Καὶ εἶπεν ὁ Θεός· Ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ 42 στερέωμα τοῦ οὐρανοῦ. Καὶ ἐγένετο οὕτως. Καὶ ἐποίησεν ὁ Θεὸς τὰ κήτη τὰ μεγάλα καὶ πᾶσαν ψυχὴν ζῴων ἑρπετῶν, ἃ ἐξήγαγεν τὰ ὕδατα κατὰ γένη αὐτῶν, καὶ πᾶν πετεινὸν πτερωτὸν κατὰ γένος. Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλά. Καὶ ηὐλόγησεν αὐτά, ἕως τοῦ ἡμέρα πέμπτη. Ἐπεὶ προηγουμένη κτίσις ἐστὶν τῶν ἐπὶ γῆς ἡ κατὰ τοὺς ἀνθρώπους ζῷα θνητὰ τυγχάνον[τα]ς, ἀκολούθως τὰ ἄλλα ζῷά τε καὶ φυτὰ διὰ τὴν αὐτοῦ χρείαν δεδημιούρ- γηται· τὰ μὲν γὰρ εἰς τροφήν, τὰ δὲ εἰς θεραπείαν ἑαυ[τ]οῦ παραλαμβάνει· ἔστιν δ' ἕτερα τὰ μὲν εἰς τὸ ἀχθοφορεῖν, τὰ δὲ εἴς τινα αὐτοῦ χρείαν γεγενημένα· οὐδὲν γὰρ εἰκαίως ὑπέστη. Λέγει οὖν ὁ Θεός· "6Ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς."6 Ἔδει γὰρ καὶ ταῦτα διὰ τὴν ἀνθρώπων ὑποστῆναι χρείαν. Ἑρπετὰ δὲ τὰ σώματα αὐτῶν εἰπὼν ψυχὰς ζώσας τὰς πάσας λέγει· κἂν γὰρ ἄλογος ᾖ, ἀλλὰ ζωτικὴν δύναμιν τῷ σώματι παρέχει συμφθειρομένη αὐτῷ, τῆς τοῦ ἀνθρώπου καὶ μετὰ τὴν τοῦ σώματος διάλυσιν ὑφισταμένης. Τῶν πετεινῶν δὲ τῶν μὲν ὑψιπετῶν ὄντων, τῶν δὲ πλειόνων ταπεινὴν ἐχόντων τὴν πτῆσιν, μάλιστα τῶν πρὸς τροφὴν τοῖς ἀνθρώποις ἀπονεμηθέντων, ἀπὸ τοῦ πλεονάζοντος εἴρηται· "6καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς"6. Εἰκὸς γὰρ αὐτὰ διὰ τοῦτο μηδὲ εἰς ὕψος κατὰ τὸν ἀετὸν καὶ τὰ ὅμοια ἵπτασθαι, ἵν' εὐχείρωτα ᾖ τοῖς ἀνθρώποις, δι' οὓς καὶ γέγονεν. "6Κατὰ τὸ στερέωμα"6 δὲ "6τοῦ οὐρανοῦ"6 εἴρηται, οὐχ ὅτι πλησιάζει ἱπτάμενα τούτῳ, ἀλλ' ὅτι ὑπ' αὐτό εἰσιν, εἰ καὶ μὴ φθάνουσιν ἐκεῖ. Αὐτίκα γοῦν καὶ τὰ νέφη τὰ φέροντα τὸν ὑετὸν οὐρανοὺς καλεῖ ἡ γραφὴ καὶ τὸν ὑετὸν οὐρανόθεν ἔρχεσθαι, καίτοι τῶν νεφῶν περὶ τὸν ἀέρα συνισταμένων, ἀφ' ὧν καὶ ὁ ὑ<ε>τὸς φέρεται, ἅτινα νέφη οὐ πλέον δεκὰ σταδίων ὑπὲρ γῆς λέγεται εἶναι, ὑπὲρ νεφῶν πολλάκις ὀρῶν εὑρισκομένων καὶ τῶν νεφῶν αὐτοῖς ἐπικειμένων. Λύεται οὖν τοῦτο τῷ πολλάκις τὸν ἀέρα καὶ 43 οὐρανὸν καλεῖσθαι καὶ στερέωμα. Τὸ δὲ "6καὶ ἐγένετο οὕτως"6 ὁμοίως τοῖς φθάσασιν νοητέον. Τί δὲ "6καὶ ἐποίησεν ὁ Θεὸς τὰ κήτη τὰ μεγάλα"6; Σημειωτέον ὡς οὐ λέγει περὶ τῶν κητῶν ὅτι "3ἐξαγέτω τὰ ὕδατα κήτη"3, ἀλλ' ὅτι αὐτὸς αὐτὰ πεποίηκεν. Ὑπερμεγέθη δὲ ταῦτα τυγχάνει, καθὰ καὶ οἱ ἱστορήσαντες ὑπερθαυμά- ζουσιν, ὡς καὶ νήσοις λέγειν αὐτὰ ἐμφερῆ εἶναι, εἰς ἃ πολλάκις φασὶν ἐξεληλυθέναι ἀνθρώπους ὡς εἰς χέρσον οἰομένους ἐξιέναι, τότε μόνον γινώσκοντες ὅτι κήτη εἰσίν, ὅτε αὐτὰ κινούμ̣ενα παρέχει τὴν αἴσθησιν. Πρόσσχες δὲ ἔτι καὶ τῷ "6ἐποίησεν ὁ Θεὸς τὰ κήτη τὰ μεγάλα καὶ πᾶσαν ψυχὴν ζῴων ἑρπετῶν"6, ὅτι τὰ μὲν ὕδατα ἐξάγει αὐτῶν τὰ σώματα, αὐτῶν λέγω τῶν ἀπὸ τῶν ὑδάτων συστάντων, τὰ δὲ κήτη μετὰ τῶν ἄλλων ζῴων ποιεῖ Θεὸς τὴν ζωτικὴν αὐτοῖς παρέχων δύναμιν, οὐ δήπου τῶν σωμάτων προυποκειμένων καὶ οὕτω ψυχουμένων, –οὐ γὰρ ἔχει χωρὶς τὴν ζωὴν ἡ τῶν ἀλόγων ψυχή, –ἀλλ' ὅτι, ἅμα αὐτῶν ὑποστάντων θελήματι Θεοῦ, τὰ μὲν σώματα ἐκ τῶν ὑδάτων ἐξεληλυθέναι λέγει ἡ γραφή, τὰς δὲ ψυχὰς τὸν Θεὸν πεποιηκέναι, ὅ ἐστιν τὴν ψύχωσιν καὶ τὴν κίνησιν, οὐκ ἀπὸ τῶν ὑδάτων ἀλλ' ἐκ βουλήματος τοῦ Θεοῦ τοιούτου. Σαφὲς δὲ καὶ τὸ "6κατὰ γένη αὐτῶν"6, νοουμένου ἐνταῦθα τοῦ εἴδους ἀντὶ τοῦ γένους. "6Καὶ εἶδέν"6 φησιν "6ὁ Θεὸς ὅτι καλά."6 Ἐπὶ μὲν γὰρ τῶν προλαβόντων εἴρηται "6ὅτι καλὸν"6 διὰ τὸ ἢ ἓν εἶναι τὸ γινόμενον ἢ ἐν ἑνὶ τοῦ κόσμου μέρει συστῆναι· ἐπειδὴ δὲ τὰ νῦν διαφόρους χώρας εἴληχεν, ὡς τὰ μὲν αὐτῶν εἶναι ἀεροπόρα, τὰ δὲ ἔνυδρα, ἀκολούθως τὸ "6εἶδεν ὁ Θεὸς ὅτι καλὰ"6 εἴρηται. "6Καὶ ηὐλόγησεν αὐτὰ ὁ Θεός."6 Τί δήποτε, ἐν τοῖς ἄλλοις τοῖς πρὸ τούτων μὴ προσκειμένης εὐλογίας, ἐνταῦθα εἴρηται· "6Καὶ ηὐλόγησεν αὐτὰ ὁ Θεός"6; Καὶ ὅρα γε μὴ ἄρα διὰ τὸ ἐξ αὐτῶν διαδοχὴν συνίστασθαι τοῦτο προσετέθη. Οὐδὲ γὰρ κατὰ τοὺς ἀνθρώπους εὐλογοῦνται, περὶ ὧν εἴρηται· "6Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πνευματικῇ ἐν τοῖς ἐπουρανίοις"6· αὗται δὲ πνευμα- τικαί εἰσιν νοῦ καὶ τοῦ ἔσω ἀνθρώπο[υ] ἁπτόμεναι, αἵτινες τοῖς ἀλόγοις οὐκ ἐγγίνονται· προσετέθη γὰρ τὸ πνευματικῇ, ἐμφαῖνον ὅτι καὶ σωματικαί εἰσιν εὐλογίαι, 44 οἷον ὑγεῖα εὐεξία σώματος καὶ τὰ ἀδιάφορα. Τὴν αὔξησιν οὖν ἣν προσέταξεν ἐν τοῖς ζῴοις γίνεσθαι καὶ τὸ πλῆθος εὐλογίαν ἐκάλεσεν. Τὸ δὲ "6ἐν ταῖς θαλάσσαις"6 ἁπλούστερον καὶ περὶ λιμνῶν καὶ ποταμῶν εἴρηται, ἀπὸ τῶν μειζόνων θελήσαντος δηλῶσαι πᾶν ὕδωρ. Ἀκολούθως δὲ περὶ τῶν πετεινῶν εἴρηται τὸ "6ἐπὶ τῆς γῆς"6 διὰ τὸ πλησιάζειν ταῦτα τῇ γῇ· οὐ γὰρ ἐδύναντο εἰς τὸν αἰθέρα τὴν διατριβὴν ἔχειν διὰ τὴν τούτου θερμότητα. "6Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα πέμπτη"6 καὶ εἰκότως· ἔπρεπεν γὰρ τὰ πολὺ τῆς αἰσθήσεως μετέ- χοντα ἄλογα ζῷα ἐν τῇ πεντάδι δηλούσῃ τὰς αἰσθήσεις γενέσθαι. Κἂν γὰρ ἄνθρωποι αἰσθήσεως κοινωνῶσιν, ἀλλ' ἔχουσιν τὸ μεῖ<ζ>ον τῆς αἰσθήσεως, τὸν νοῦν καὶ λογισμόν, τῶν ἀλόγων περὶ μόνην αἴσθησιν ἐχόντων. Ταῦτα μὲν οὖν πρὸς τὸ ῥητόν· πρὸς δὲ ἀναγωγὴν ἡ κακία ἐν τοῖς προλαβοῦσιν ἀλληγορίας νόμῳ ὕδωρ εἴρηται, μάλιστα ὅτε παρετιθέμεθα. "6Ὕδωρ πολὺ οὐ δυνήσεται σβέσαι τὴν ἀγάπην"6· τοῦτο δὲ οὐκ ἀπὸ τοῦ αἰσθητοῦ συμβαίνει, ἀλλ' ἀπ' ἐκείνου ἀφ' οὗ σπάνις ἀρετῆς εἶναι εἴρηται ἐκ τοῦ "6διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν"6. Οὐκοῦν μὴ ἀνομία τὸ ὕδωρ ἐστὶ τὸ πειρώμενον σβέσαι τὴν διάθεσιν τὴν ἀγαπητικήν; Αὕτη γὰρ τὸ μῖσος ἐγείρουσα ἐκκλείει τὰ τῆς ἀγάπης, ἥτις ἐκ τοῦ κοινωνικοῦ καὶ ἡμέρου, ἅπερ φύσει τοῖς ἀνθρώποις ὑπάρχει, συνέστηκεν. Βούλεται οὖν ὁ Θεὸς ἐκ τῶν ὑδάτων τῶν ἑρμηνευθέντων ἔξω γενέσθαι τὰ ἑρπετὰ καὶ τὰ πετεινά, ἅπερ διαφορὰς τρόπων αἰνίττεται, τῶν μὲν εἰστὰ βάθη τῆς κακίας φθασάντων καὶ διὰ τοῦτο καταπεφρονηκότων, –ἀσεβὴς γὰρ ἐμπεσὼν εἰς βάθος κακῶν καταφρονεῖ, –δίκην ἑρπετῶν περὶ τὰ γήϊνα εἰλυμένων καὶ συνεχομένων τῷ πλήθει τούτου τοῦ ὕδατος. περὶ οὗ εἴρηται· "6Ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον"6, ἅπερ τοῦ τοιούτου καὶ τοσούτου κακοῦ ἐλευθερῶσαι ὁ εὐεργέτης βούλεται, τῶν δὲ ἐσφαλμένας νοήσεις ἐχόντων πετεινῶν καλουμένων διὰ τὸ δῆθεν περὶ μετέωρα ἔχειν καὶ τῶν ἄλλων ἀνθρώπων περιττὸν δοκεῖν διανοεῖσθαι, ἅπερ καὶ αὐτὰ ἔξω ταύτης τῆς καταστάσεως γενέσθαι βούλεται ὁ φιλάνθρωπος Θεός, 45 ὅπως τὴν σύνεσιν, ἣν εἰς ἃ μὴ χρὴ κατεδαπάνησαν, ἁρμόσωσιν εἰς τὰ δέοντα καὶ πρέποντα λογικῇ φύσει, ἵν' οὕτως ἀπολαβῶσιν τὸ οἰκεῖον τῆς πτήσεως τῆς θείας, ἀφ' ἧς καὶ ἡ παρατροπὴ γέγονεν. Κήτη δὲ μεγάλα ἦσαν κατὰ νόμους ἀλληγορίας αἱ πονηραὶ δυνάμεις, διάβολος καὶ οἱ ἄγγελοι αὐτοῦ, οἵτινες δράκοντες παρὰ τῇ γραφῇ λέγονται, δηλαδὴ καὶ τοῦ δια- βόλου πολλῷ πλέον ταύτῃ καλουμένου τῇ προσηγορίᾳ. Πρὸς τὸν Σωτῆρα γοῦν τρόπῳ ὑμνῳδίας λέγεται· "6Σὺ συνέτριψας τὰς κεφαλὰς τοῦ δράκοντος, σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος."6 Σαφὲς δὲ ὅτι ταῦτα παρὰ τοῦ Θεοῦ γέγονεν, οὐ καθὸ φαῦλα τυγχάνει, ἀλλὰ κατὰ τὸ οὐσίωδες αὐτῶν ὑποκείμενον. Οὐ γὰρ διάβολον ἢ δαίμονας, καθὸ τοιοῦτοί εἰσιν, ὁ Θεὸς πεποίηκεν, ἀλλ' αὐτοὶ ἑαυτοῖς τὴν ἀπώλειαν ἐπεσπάσαντο· ἀγγέλους γὰρ τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν τάξιν ἡ γραφή φησιν. Ὅτι δὲ κῆτος ὁ διάβολος εἴρηται, ἐν τῷ Ἰὼβ περὶ αὐτοῦ λέγεται· "6Ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι"6, ὑπ' αὐτοῦ δὲ ἐκάμφθησαν κήτη τὰ ὑπ' οὐρανόν. Δύναται δὲ καὶ τὸ "6ἐποίησεν αὐτὰ ὁ Θεὸς"6 δηλοῦν τὸ "3ἀπέδειξεν"3· πολλάκις γὰρ ἡ γραφὴ τὸ ποιῆσαι ἀντὶ τοῦ ἀποδεῖξαι σημαίνει, ὡς ἐν τῷ "6Ἐὰν εἴπωμεν ὅτι οὐχ ἡμαρτήκαμεν, ψεύστην ποιοῦμεν αὐτόν"6, οὐχ ὅτι ἡμεῖς δημιουργοὶ τοῦ Θεοῦ γινόμεθα, ἀλλ' ἀποδείκνυμεν αὐτὸν τὸ ὅσον εἰς ἡμᾶς ψεύστην. Τὸ αὐτὸ παρίσταται καὶ ὑπὸ τοῦ εἰρημένου πρὸς Ἰουδαίων ὅτι "6Σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν Θεόν"6, ἀντὶ τοῦ "3ἀποδεικνύεις"3. Τοῦτο δὲ ποιεῖ Θεὸς καὶ ἀποδείκνυσιν τὰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

π[ο]νηρὰς δυνάμεις καὶ φανεροῖ ταύτας, ἵνα μὴ λανθάνοντες ἀμέτρως βλάπ- τωσιν καὶ ἵνα οἱ πρὸς αὐτοὺς ἔχοντες τὴν πάλην γινώσκωσιν αὐτούς· οὕτω γὰρ καὶ καταφρονῆσαι αὐτῶν συμβαίνει. Ταῦτα δὲ ἔξω τῶν ὑδάτων βούλεται εἶναι Θεὸς ὀλίγον αὐτὰ τέως ὡς ἐν εἰσαγωγῇ ἀρετῆς ἀποστῆναι κακίας θέλων, –οὐ γὰρ ὁ ἐν κακίᾳ καὶ τοσαύτῃ γε ἀθρόαν δέχεται τὴν μετάστασιν ἐπὶ τὸ τέλειον, ἀλλὰ κατὰ προκοπὴν καὶ ἐπίδοσίν τινα προσλαμβάνων ἀεί τι τῆς ἀρετῆς, – ἵν' οὕτω ἐκ τοῦ ἐπὶ γῆς ἵστασθαι καὶ πετεινὰ οὐρανοῦ γένωνται κατὰ τοὺς ἀκούοντας· "6Ἐὰν κοιμηθῆτε ἀνὰ 46 μέσον τῶν κλήρων πτέρυγες περιστερᾶς περιηργυ<ρω>μέναι καὶ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου"6, κλήρους λέγων τὰς διόδους τῶν ὑδάτων ὡς ἐν τῷ "6Ἰσαὰκ τὸ καλὸν ἐπεθύμησεν ἀναπαυόμενος ἀνὰ μέσον τῶν κλήρων"6, οἵτινες εἶεν ἥ τε παλαιὰ καὶ καινὴ διαθήκη πτεροῦσαι τὸν ἀνὰ μέσον αὐτῶν διαναπαυόμενον καὶ συμβάλλοντα τὰ προειρημένα τῇ τούτω[ν ἐ]κβάσει ὡς πτέρυγας ἔχειν περιστερᾶς, ᾗ εἰκασθὲν τὸ ἅγιον [Π]νεῦμα ἐπὶ τὸν Ἰησοῦν κατελήλυθεν. Αὗται αἱ πτέρυγες νοήσεις [εἰ]σὶν δίαρμα καὶ μέγεθος οὐράνιον ἔχουσαι, ἀπὸ τούτου καὶ περιστεραὶ καλούμεναι, καθὰ καὶ τὴν νύμφην οὕτως ὀνομάζ[ει] ὁ μνηστευσάμενος αὐτὴν λέγων· "6Περιστερά μου τελεία μου."6 Καὶ περὶ τῶν ἁγίων δὲ εἴρηται· "6Τίνες οἵδε ὡς νεφέλαι πέτονται καὶ ὡς περιστεραὶ σὺν νεοσσοῖς;"6 νεοσσοὺς λέγων περιστερῶν τοὺς ὑπὸ τοῖς τελείοις μαθη- τευομένους, οἷος Παῦλος περιστερὰ τυγχάνων καὶ ἔχων νεοττὸν Τιμόθεον καὶ Πέτρος τὸν εὐαγγελιστὴν Μάρκον. Καὶ ἐπὶ τ[ῶ]ν̣ παλαιῶν δὲ ἀνεγρά[φ]η[σά]ν τινες υἱοὶ προφη̣τῶν, οὕστινας νεοσσοὺς περιστερῶν τῶν προφητῶν λέγω̣ν ο̣ὐ̣κ ἂν ἁμάρτοις. Οἱ αὐτοὶ δὲ κατ' ἄλλο καὶ ἄλλο νεοττοὶ λέγονται καὶ νεφέλαι· ᾗ γὰρ φέρουσιν ὑετὸν θεῖον καὶ πνευμ̣α̣τικόν, τοῦτον τοῖς ἄλλοις παρα- πέμποντες εἰς ὠφέλιαν, νεφέλαι τυγχάνουσιν, ᾗ δὲ τυποῦνται κατὰ τὴν τοῦ ἁγίου Πνεύματος μετουσίαν, περιστεραὶ ὑπάρχουσιν, αἵτινες περιηργυ<ρω>μέναι εἰ[σί]ν, λόγῳ θείῳ κεκοσμημέναι, ἐκ τῶν θειῶν πεπαιδευμέναι γραφῶν. Ὅτι γὰρ ὁ ἄργυρος σημαίνει τὸν λόγον, δῆλον ἐκ τοῦ "6ἄργυρος πεπυρωμένος γλῶσσα δικαίου"6. Οὐ γὰρ ἡ αἰσθητὴ ἄργυρος, ἀλλ' ἐπεὶ ὄργανον λόγου ἐστὶν ἡ γλῶσσα, αὐτοῦ καὶ σύμβολον εἴλημπται. Οὗτος δὲ πεπύρωσται ἅτε 47 οὐ περὶ τῶν τυχόντων ἀλλὰ τοῦ φωτὸς τοῦ οὐρανίου διαλαμβάνων, οὗ ἦλθεν Ἰησοῦς ἐπὶ γῆς βαλε[ῖ]ν θέλων ἤδη αὐτὸ ἐξαφθῆναι. Ἀλλὰ καὶ αἱ τοῖς ἀποστόλοις φανεῖσαι γλῶσσαι ὡσεὶ πυρός, αἳ καὶ ἐκάθισαν ἐφ' ἕνα ἑκαστὸν αὐτῶν, τὸν θεῖον λόγον καὶ διδακτικὸν σημ̣[αί]- νο[υ]σιν. Καὶ τὰ μετάφρενα δὲ τούτων ἢ τῶν περιστερῶν ἐν χ[λωρότη]τι χρυσίου διακεκόσμηνται, δηλουμένου διὰ μὲν τοῦ χ[ρυσίο]υ τοῦ νοῦ, διὰ δὲ τῆς χλωρότητος τοῦ ζωτικοῦ καὶ ἀμαρα̣ ́[ντου]. "6Ὅσοι οὖν σοφίᾳ κεκόσμηνται, καθ' ἣν βούλεται Θεὸς τ[ὰ ἑρπ]όμενα ἀπὸ τῶν ὑδάτων ἀφελέσθαι, οὗτοι περιστερ[αί εἰσι]ν ἕτερον νοῦν ἔχοντες, πτεροῖς τῆς ἀληθείας ὑψούμενοι καὶ ἀεὶ τὸ ζωοποιὸν Πνεῦμα ἐν ἑαυτοῖς ἔχοντες. Ταῦτα δ' αὐτὰ καὶ εὐλογεῖ Θεός, ὅπως ἐπίδοσιν πλήθους καὶ αὐξήσεως δέχωνται, πλήθους μὲν ἵνα μιμητὰς ἄλλους ἀποδείξωσιν, αὐξή[σε]ως δὲ ὅπως ἀεὶ αὐτοὶ τῇ προκο̣π̣ῇ̣ τοῦ τελείου ἀγαθοῦ ἔρωτα ἔχωσιν. Τὸ δὲ "6καὶ πληρώσατε τ[ὰ ὕ]δα[τα]"6 σημαίνοι ἂν ὅτι μηκέ[τι] ὑμεῖς βύθιοι τυγχάνετε [συμ]πν[ιγ]όμενοι τοῖς τῆς ἁμαρτίας δεσμοῖς, ἀλλ' αὐτοὶ κρατο[ῦν]τες αὐτῶν ὑπεράνω αὐτῶ<ν> χωροῦντες διατελεῖτε· ἢ τάχα, ἐπεὶ τὸ ὕδωρ οἰκεῖαν ἔχει πλήρωσιν καὶ χρῆσιν τήν τε κάθαρσιν καὶ τὸ ποτίζειν συμπνίγειν τε καὶ συνέχειν, παραινεῖ ὅτι τῶν ὑπ' αὐτοῦ παρὰ πρόθεσιν κα̣ὶ̣ παρὰ σκοπὸν συμβαινόντων ἀποστάντες, τοῦ συνέχεσθαι λέγω καὶ συμπνίγεσθαι, ταῖς σειραῖς τῶν ἁμαρτιῶν συσφιγγο[μέ]ν̣ους, πρὸς ἐκεῖνα χωρεῖτε, τό τε ποτίζεσθαι ἀπὸ ὕδατος κ̣[α]θαροῦ καὶ μὴ συμπνίγοντος καὶ τὸ καθαίρεσθαι παντὸς ἀπαλλαττόμενοι ῥύπου, πληροῦντες



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ταύτας τὰς ἐνεργείας το[ῦ] ὕδατος, ποτιζόμενοι ἀπὸ ἀθα̣νά̣του ὕδατος καὶ καθαιρόμε[νο]ι, ἀλλὰ μὴ συνεχόμενοι. Τὸ δὲ̣ "6Κ̣α̣ὶ̣ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα 48 πέμπτη"6 ο̣ὔ̣τ̣ω̣ς̣ ἀ̣ν̣̀ ἐξομαλισθείη· πέρας ἔσχεν αὐτοῖς ἡ τῶν αἰσθητῶν ἡ̣μ̣έ̣ρ̣α̣ ἐ̣π̣ὶ̣ τὰ νοητὰ χωροῦσιν· τέλος γὰρ τῆς παρελθούσης ἡμέρας ἀρχὴν ποιεῖ τῆς διαδεχομένης. Ἀφέντες οὖν αὐτοὶ τὰ αἰσθητὰ ἐπὶ τὸ τέλειον χωροῦσιν, [ὃ] δηλοῦται ὑπὸ τοῦ ἓξ ἀριθμοῦ· προκοπὴ γὰρ τῶν πέντε κα̣τ̣ὰ τὸ προσεχὲς τὰ ἕξ. Ταῦτα δὲ οὐκ ἀριθμῷ δεῖ σκοπεῖν ἀλλ[ὰ] κ̣α̣τ̣ὰ τοὺς λόγους τοὺς ἐν τοῖς ἀριθμοῖς, τῶν πέντε δηλ[ο]ύ[ντω]ν τὰ αἰσθητά, τῶν δὲ ἓξ ἐπὶ τοῦ παρόντος τὴν τελειό[τητα]. ι, 24. Καὶ εἶπεν ὁ Θεός· Ἐξαγαγέτω ἡ γῆ [ψυχὴ]ν̣ ζῶσαν κατὰ γένος, τετράποδα καὶ ἑρπετὰ καὶ θηρ[ία]. Ὡσαύτως τοῖς ἔμπροσθεν τὸ εἶπε[ν ὁ Θεὸς] ἐκλημπτέον, εἶπεν δὲ ἵνα ἐξαγάγῃ ἡ γῆ ψυχὰς ζ̣[ώσας, ὅ]π̣ερ δεικτικὸν ὑπάρχ̣ει τοῦ συνεσπάρ̣σθαι τοῖς σώμασιν τῶν ἀλό̣γων τὰς αὐτῶν ψυχὰς ἅτε καὶ συμφθειρόμενας, τῶν ἀ[ν]θρωπίνων οὐχ οὕτως ἐχουσῶν· καὶ μετὰ τὴν διάλυσιν γὰρ ἐπ̣ι̣δ̣ι̣α- μένουσιν αὗται. Καὶ πρὸς τοῦτο ὁμοδοξοῦσιν οἱ πολλοὶ καὶ [τῶ]ν ἔξω τῆς πίστεως, ᾅδην εἶναι οἰόμενοι, περὶ οὗ φαντασίαν μὲν ἀμυδρὰν ἔχουσιν τὸ ὅλον ¨μαινόμενον ¨¨ ¨¨¨ διάκεινται δὲ ὁ̣[μ]ῶς εἶναι τοῦτ̣ο̣ν χωρίον τι ἐ̣ν [ᾧ] δια̣τ̣ρίβουσιν ψυχαὶ μετὰ τὴν ἐντεῦθεν ἀπαλλαγήν. Ἡ̣[γοῦ]ν̣ π̣ρ̣όσταξις περὶ ἀλόγων αἰν<ίσσ>εται ὅπ̣ως ἐξαγάγῃ ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, τετράποδα καὶ ἑ̣ρπετὰ καὶ θηρία, ὑ[πο]β̣α̣λ̣λ̣ούσης τῆς προστάξεως ὡς ¨¨¨η γῆ δύναμιν τῶν [ἐξ] α̣ὐ̣̓τῆς ἐξελευσομένων ἀλόγων ζῴων ἔχει, λόγου σπερματ̣ι̣κοῦ ἐνυπάρχοντος αὐτῇ τρόπον τινά, μᾶλλον δὲ ἐν τοῖς σπέ̣ρ̣μασιν τῶν ζῴων, τούτου προσεχεστέρου κειμένου μόν[ου ὅτι] τὴ̣ν φανταστικὴν καὶ ὁρμητικὴν κίνη̣σιν αἱ τῶν ἀλόγω̣ν̣ ψ̣υ̣χα̣ὶ̣ τοῖς σώμασιν παρέχουσιν, σωμ̣α̣τικ̣α̣ὶ̣ ὑπάρχουσαι κ̣α̣ὶ α̣ὐ̣̓ταί, μᾶλλον δὲ 49 ἐν αὐτῷ οὖσαι τῷ σώματι καὶ ἐν τ̣ῇ τούτου συστάσει· "6Ψυχὴ"6 γάρ φησιν "6παντὸς ζῴου αἷμα αὐτοῦ."6 [Τ]ὸ κοινὸν αὐτοῖς τό τε τρέφεσθαι, γρηγορεῖν, ὑπνοῦν, κάμνειν. Οὐ [π]ερὶ πάσης δὲ ψυχῆς ἐστι τὸ πρόσταγμα, ἀλλὰ περὶ μόνων ἀλ[ό]γω[ν]· ἡ γὰρ τοῦ ἀνθρώπου ψυχὴ κατ' εἰκόνα καὶ ὁμοιότηταΘεοῦ δεδημιούργηται, [ὡ]ς [ἐ]ν τοῖς ἑξῆς ἀκριβέστερον γνωσθή̣σεται. Εἶτα ἐπεὶ τ[ὰ ἐ]ξαγόμενα ἐκ τῆς γῆς ζῷα οὐκ εἰσὶν πάντα ὁ̣μοειδῆ ἀλλ[ὰ κατὰ γ]ένη διαφόροις εἴδεσιν ὑποβε- βλημένα, εἰ̣̃π̣εν τὸ "6κατ̣ὰ̣ γέ̣νος"6, τοῦ "6καθ' ὁμοιότητα"6 δηλοῦντος τὸ εἶδος. Κοινὸν οὖν αὐτοῖς τὸ γένος· πάντα γὰρ ἔμψυχα ἐξηλλαγμένα ὕπ̣εισιν ταῖς οὐσ[ιώ]δεσιν διαφο- ραῖς· ἑτέρα γὰρ ἵππου καὶ βοὸς οὐσία κα̣ὶ̣ τω̣̃ν [ἄλλ]ων ὁμοίως. Τρισὶν δὲ πρόσταξις γίνεται, τετραπ̣ό̣δοις τ̣[ε] καὶ θηρίοις καὶ ἑρπετοῖς, οὐ πάντων τετραπόδων καὶ θηρίων ὄ[ντ]ων. Εἴη ἂν οὖν καλῶν τετράποδα μὲν νῦν ὅσα ἥμ̣ερα καὶ ὑπηρετικὰ ἀνθρώπων, θηρία δὲ τὰ ἀτίθασα τετράποδα, ἑ̣ρ̣π̣ετὰ δὲ ὅσα ὀφιώδη, καὶ τούτων δὲ αἱ δια̣φοραὶ οὐκ ἄγνωσ[το]ι τοῖς ἱστορήσασιν. ι, 24. Καὶ ἐγένετο οὕτως. Ἔδει γὰρ τὸ εἰ̣̃ν̣α̣ι̣ ἀκ[ολου]θεῖν τῇ προστάξει. Διαπο- ρήσειεν δ' ἄν τις τί ἤδη τῷ ¨¨ ¨¨¨το "6καὶ ἐγένετο οὕτως"6 ἐπιφέρεται τὸ "6καὶ ἐποίησεν Θ̣ε̣ό̣ς"6. Α̣ὐ̣̓τ̣ί̣κ̣α̣ γοῦν ἐπεὶ κατὰ τὴν διαδοχὴν τῶν ζῴων τὰ διάδοχα ἐ̣ν̣ τ̣ῇ γενέσει ταύτῃ τὸ σπέρμα καταβάλλει, μορφοῖ δὲ κ̣α̣ὶ̣ διαπλά̣ττει Θεός, τοῦτ' εἴρηται, προστάγματος πρώτου τυγχάνοντος, ἔ̣π̣ειτα τὸ ἐξαγαγεῖν τὸ σπέρμα τελεσιουρ- γοῦντος τ̣ο̣υ̣̃ Θεοῦ ¨¨ ¨¨ ¨¨¨η ἐ̣ν̣ διαστάσει χρόνου κατὰ τὴν πρώτην δημ̣ι̣ο̣υ̣ργίαν ¨¨ ¨¨¨ ἀλλὰ παραστατικὰ ἡγοῦ ὅτι κατὰ Θεοῦ δύναμ̣ι̣ν ἡ̣ τ̣ο̣υ̣̃ σ̣π̣έ̣ρ̣ματ̣ο̣ς καταβολὴ γίνεται καὶ ἡ διάπλασις τοῦ ¨¨ ¨¨ ¨¨ ¨¨¨ ἐπ' ἀνθρώπ̣ο̣υ̣ Θ̣ε̣ό̣ς φησιν πρὸς Ἰερεμίαν· "6Πρὸ τοῦ με πλάσαι σε ἐν 50 κοιλί̣α̣ ἐπίσταμαί σε."6 Διαφορὰ δὲ τῆς ὑπάρξεως τῶν ζῴων ποικίλη, τῶν μὲν ἐξ ἀρχῆς ἐκ γῆς καὶ ὑδάτων ἐσχηκότων τὴν γένεσιν, τῆς δὲ διαδοχῆς ἑτερο̣ί̣ως γινομένης· τὰ μὲν γὰρ αὐτῶν ᾠοτόκα τυγχάνει, ἐξ ὧν τὰ ᾠὰ ἔξεισιν, τὰ δὲ ζωοτόκα, τῆς βουλή[σ]εως τοῦ Θεοῦ τὸν διάφορον τρόπον παρασχομένης τῆς τούτων [ὑ]πά[ρ]ξεως. Περὶ ὧν κα̣ὶ̣ τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

"6εἶδεν ὁ Θεὸς ὅτι καλὰ"6 εἴρηται, οὐ καλόν· οὐ γὰ[ρ ἓν] ἦν ἔργον ἀλλὰ δ̣ιάφορα. Πρὸς ὅ τις ἐνστήσεται λέγων ὡς ἐ[πὶ μ]ὲν τοῦ φωτὸς καὶ στερεώματος καὶ ἡλίου καὶ τῶν ὁμοίων ἀκολούθως ἐπήνεκται "6ὅτι καλόν"6, περὶ δὲ θηρίων καὶ ἰοβόλων ἑρπετῶν πῶς τὸ "6ὅτι καλὰ"6 εἴρηται· φανερὸν γὰρ τὸ ἐν αὐτοῖς ἐ[πα]χθές. Πρὸς ὃ ἐρεῖ πρῶτον μὲν ὅτι, Θεοῦ ἔργον ὄν, καλὸν κ[αὶ ἐπ]αινετὸν ὑπάρχει, κἂν ὁ περὶ αὐτοῦ ἀκριβὴς λόγος κεκρυμ- μέ[νο]ς ἀφ' ἡμῶν ὑπάρχῃ, ἔπειτα εὕροι ἄν τις ἐραυνῶν τὸ χρήσιμον τῆς τούτων ὑπάρξεως, εἰ κατανόησαι τὸ ἐν ἑκάστῳ ζῴῳ φυσικόν, τοῦ μὲν τὸ ἥμερον συντελοῦν ἀνθρώποις καὶ ἐντρέπον τὸν [ἄ]γριον καὶ θυμώδη, τοῦ δὲ τὸ ἐπιμελὲς καὶ φροντιστικὸν διεγ[ε]ῖ̣ρον τὸν ἀμελῆ, καθὸ καὶ ἡ θε[ί]α τῶν Παροιμιῶν γραφὴ ἐντρέπ[ουσ]α τοὺς ὀκνηροὺς περὶ ἀνάλημψιν ἀρετῆς ὑποδείκνυσιν [ἀπὸ] τῶν ἀλόγων τὴν παραίνεσιν λέγουσα· "6Ἴθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρέ, καὶ γενοῦ ἐκείνου σοφώτερος"6· εὕροι δὲ ὁ τοιοῦτος καὶ εἰς σωφροσύνην συντελοῦντα ἄλογα ζῷα καὶ εἰς τιμὴν γονέων καὶ ὅλως εἰς ἀρετήν, ἐκ τοῦ ἐλάττονος τὸν κατ' εἰκόνα γεγενημένον ἀμελοῦντα διορ- θούμενα, ἐντυχὼν τοῖς περὶ τῆς φύσεως αὐτῶν ἀναγρα- φεῖσιν. Τὰ μὲν οὖν τῆς ῥητῆς ἀποδόσεως ὧδε ἐχέτω· τὰ δὲ τῆς πνευματικῆς θεωρίας ῥητέον. Ἡ ἁμαρτάνουσα ψυχὴ ὑπὸ τὴν χύσιν τῶν γηΐνων παθῶν τυγχάνει φοροῦσα τὴν εἰκόνα τ̣ο̣ῦ χοϊκοῦ καὶ ὅλη γηΐνη οὖσα τῷ φρονεῖν τὰ ἐπίγεια· λέγεται γὰρ περὶ τῶν φαύλων· "6Εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς"6, οὐ δήπου ταύτης, ἀλλὰ τῆς 51 κατὰ τροπολογίαν νοουμένης, καθ' ἣν εἴρηται περί τινων· "6Καὶ ἐβαθύνατ̣ε εἰς τὴν κάθισιν"6, καί· "6Ἐξέτεινας τὴν δεξιάν σου καὶ κατέπιεν αὐτοὺς γῆ"6, καιτοὶ οὐχ ὑπὸ γῆς καταποθέντων. Τούτους οὖν τοὺς ὑπὸ γῆν ὄντας τὴν εἰρημένην ὁ τῆς μετανοίας ἐξάγει λόγος διὰ προστάξεως Θεοῦ γινόμενος καὶ ἔξω τῆς ἁμαρτίας ποιεῖ, ἵνα [ὁ] ἀποβάλλων τὴν εἰκόνα τοῦ χοϊκοῦ δέξηται τὴν τοῦ ἐ[που]ρανίου. Περὶ τῶν οὕτως ἐχόντων καὶ ἑαυτοῦ ὁ μακάριος Παῦλός φησιν· "6Συνήγειρεν καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις"6, ἵνα οἱ ἀπ' ἐντεῦθεν τὴν εἰκόνα τοῦ ἐπουρανίου φοροῦντες καὶ τῆς τούτων διατριβῆς ἀξιωθῶσιν, καθὰ καὶ οἱ ἐναντίως πολιτευόμενοι κατάλληλον τοῖς τρόποις γηΐνοις οὖσιν καὶ καταλλήλου χωρίου πειραθῶσιν. Ἐξάγει οὖν πᾶσαν "6ψυχὴν ζῶσαν κατὰ γένος"6, τοῦ κατὰ γένος ἀκουόντων ἡμῶν "3κατὰ τάξιν"3. Οὐ γὰρ ἅμα τε ἀπέστη τις κακίας καὶ τὸ τέλος ἔχει, ἀλλὰ δεῖ προκ[ο]πῆς ἑκαστῷ τάγματι πρὸς τὴν τελείαν κατόρ- θωσιν ἀπ[ὸ] τῆς διαφόρου κακίας ἐπ' ἀρετὴν ἀγούσης, ἵνα οἱ μὲν ἵπποι ὄντες τῷ τρόπῳ, περὶ ὧν εἴρηται· "6Ἵπποι θηλυμανεῖς ἐγενήθησαν· ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ε̣ʼχρεμέτιξεν"6, ἀποβάλλοντες τὸ εἶναι τοιοῦτοι, ἵπποι ἀστεῖοι γένωνται, βαστάζειν ἀξιούμενοι τὸν λόγον τῇ τῆς ἀρετῆς μετουσίᾳ, ἵνα ἐν αὐτοῖς καὶ δι' αὐτοὺς λεχθῇ· "6Καὶ ἡ ι̣ʽππασία σου σωτηρία."6 Οἱ δὲ βόες εἰσὶ περὶ ὧν εἴρηται· "6Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ; ἢ πάντως δι' ἡμᾶς λέγει ὅτι ὀφείλει ἐπ' ἐλπίδι ὁ ἀροτριῶν ἀροτριᾶν καὶ ὁ ἀλοῶν ἐπ' ἐλπίδι τοῦ μετέχειν;"6 Ὅσοι οὖν ἀπὸ τοῦ ἐπὶ τὰ γήϊνα τὴν σπουδὴν ἔχειν πρὸς 52 τὰ θεῖα μετίασιν, οὗτοι οἱ προειρημένοι εἶεν βόες. Ἄλλοι δὲ νω̣θ̣εῖ̣ς καὶ βραδεῖς ὑπάρχοντες δίκην ὄνων καὶ ἀχθοφο- ροῦντες τ̣ὴ̣ν̣ κακίαν, καὶ διά τε τοῦτο νωθεῖς ὑπάρχοντες κατὰ τοὺς λέγοντας· "6Λέων ἐν ταῖς ὁδοῖς, ἐν ταῖς πλατείαις φονευταί"6, ὑπὸ π̣ρ̣ο̣σ̣τάξεως τοῦ Κυρίου τῆς τοιαύτης νωθείας ἐλευθεροῦνται, ὧν σύ̣μβολον φέρει ὁ ὑπὸ τῶν ἀποσταλέντων πρὸς τοῦ Κυρίου μαθητῶ̣ν̣ εἰς τὴν κατέναντι κώμην ὄνος λυ[ό]μενος ὅπ̣ως ὁ Κύριος ἐπ' αὐτὸν καθίσας δεσμῶν καὶ ἀλογίας κ[α]ὶ νωθείας ἐλευθερώσῃ τοὺς ὑπ' αὐτοῦ δηλουμένους κτηνώδεις ἀνθρώπους. Ἀλλὰ καὶ κάμηλοι κατὰ τὸν τρόπον εἰσὶν ἄνθρωποι, οἵτινες δυσκόλως ε̣ʼχουσιν εἰσιέναι εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, οἳ καὶ αὐτοὶ ἐλευθεροῦνται ἀπαλλαττόμενοι τῶν βλα<βε>ρῶν φορτίων τῆς κ̣ακίας, ἅπερ ἐπηχθισμένοι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τυγχάνουσιν κατὰ τὸν προφήτην Ἠσαίαν λέγοντα· "6Ἐκεῖ *** καὶ ἀσπίδες πετάμενοι οἳ ἔφερον ἐπ' ὄνων καὶ καμήλῳν τὸν πλοῦτον αὐτῶν"6· δῆλον γὰ[ρ] οὐκ αἰσθητὸν πλοῦτον ἀσπ[ὶς] ἢ λέων κέκτηται, ἀλλὰ τὸ[ν] κατὰ τροπολογίαν δηλο[ύ]μενον αἱ πονηραὶ δυνάμεις ἀσπίδες καὶ λέοντες συμβ̣ολικῶς ὀνομαζόμεναι κέκτηνται, ὃν οὐκ ἐπὶ λ̣ογικὸν ζῷον οὐκ ἐπὶ βοῦς τοὺς δυναμένους ἐργασίαν σεμνὴν καὶ χρησίμην φέρειν ἐναποτίθενται, ἀλλ' ἐπὶ ὄνων καὶ καμήλων, ἅπερ κεκυρτωμένα καὶ ἀκάθαρτα τυγχάνει. Οὗτοι οὖν ἐξάγονται ἀπὸ τῆς χειρίστης ἕξεως τρόπῳ μετανοίας, ὡς εἴρηται, τοῦ Θεοῦ τοῦτο προστάττοντος· οὐ βούλεται γὰρ τὸν θάνα̣τον τοῦ ἁμαρτωλοῦ ὡς τὴν μετάνοιαν. ι, 25. Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλά. Καλὸν γὰρ ἡ ἀπὸ κακίας εἰς ἀρετὴν μετάστασις. Καὶ ταῦτα δὲ πεποιηκέναι τὸν Θεὸν ῥητέον μεταπαιδεύοντα 53 αὐτὰ ὅπως τά ποτε ἰοβόλα θηρία τῆς ἀγριότητος ἀπαλλα- γέντα εἰς ἡμερότητα μεταστῇ. Κ[α]ὶ ὥσπερ, ἐὰν λέγω ὅτι τὸν πηλὸν ὁ κεραμεὺς ποιεῖ, δηλῶ οὐχ ὅτι τοῦτο σπουδάζει ὅπως ἀπομείνῃ ὁ πηλὸς ὡσαύτως, ἀλλ' ἵνα σκεῦος ὀστράκινον γένηται πῆξιν λαβὸν καὶ μηκέτι διαλε- λυμένον ὑπάρχῃ, οὕτως ἐποίησεν τὰ θηρία τὰ κατὰ τὴν ἀλληγορίαν, οὐχ ἵνα θηρία μένῃ, ἀλλ' ἵνα μεταστῇ ἀπὸ τ[ῆς] κατὰ κακίαν ἀγριότητος εἰς τὴν πραοτάτην ἀρετήν. Καὶ ἐπεὶ διάφορα τὰ τῶν ἀνθρ̣ώπων ἤθη, διὰ τοῦτο πληθυντικῶς εἴρηται "6Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλά."6 Ὅτι δὲ τὰ ἤθη τῶν ἀνθρώπων διὰ ἀλόγων ζῴων σημαίνεται, παρίσταται ἐκ τῆς βιβλίου τῶν Πράξεων τῶν ἀποστόλων, ὁπηνίκα ἄνδρες τινὲς παρεγένοντο πρὸς τὸν πρόκριτον τῶν ἀποστόλων μετακαλούμενοι αὐτὸν ἐπὶ τὸ κηρῦξαι αὐτοῖς τὸ εὐαγγέλιον ἀλλογενέσιν οὖσιν. Ἀνελθόντι γὰρ αὐτῷ ἐπὶ τὸ δῶμα προσεύξασθαι ἐφάνη τι σκεῦος ὡς ὀθόνη τέσσαρσιν ἀρχαῖς καθιέμενον ἐκ̣ τοῦ οὐρανοῦ ἐπὶ γῆς, ἐν ᾧ ὑπῆρχεν πάντα τὰ τετράποδα καὶ τὰ ἑρπετὰ καὶ τὰ θηρία τῆς γῆς, φωνὴ δ̣ὲ ἐκ τοῦ οὐρανοῦ ἦλθεν εἰς αὐτὸν λέγουσα. "6Ἀναστάς, Πέτρε, θῦσον καὶ φάγε."6 Ὁ δὲ ἔφη· "6"3Μηδαμῶς, Κύριε, ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν καὶ ἀκάθαρτον"3. Καὶ φωνὴ πάλιν ἐκ δευτέρου πρὸς αὐτὸν"6 ἐγένετο· "6Ἃ ὁ Θεὸς ἐκαθάρισεν, σὺ μὴ κοίνου."6 Ἥνπερ ὀπτασίαν τῶν ζῴων τῶν ἐν τῇ ὀθόνῃ φανέντων ἑρμηνεύων αὐτὸς ὁ Πέτρος, ὅτε πρὸς τοὺς καλοῦντας ἧκεν, φησίν· "6Κἀμοὶ ἔδειξεν ὁ Θεὸς μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον"6, εἰς ἀνθρώπους ἀνάγων τὰ φανέντα τετράποδα καὶ θηρία καθαρθέντας τῷ ἀποβεβληκέναι [τ]ὴν κακίαν. 54 Καὶ τοῦτο δὲ ῥητέον, ὅτι εἰπὼν "6Ἐξαγαγέτω"6 οὐκ ἠρκέσθη τῇ προσ̣τάξει ἀλλ' ἐποίησεν· οὐ γὰρ μόνον προτρέπεται Θεὸς ἐπὶ ἀρετὴν ἀλλ' ἤδη καὶ συνεφάπτεται· τῷ γὰρ τὸ ἀγαθὸν προαιρουμένῳ καὶ ὁ Θεὸς συνεργεῖ εἰς ἀγαθόν, ἵνα προθέμενοι ἀνύσαι τὴν πρόσταξιν δυνηθῶσιν ἐπὶ πέρας ἀγαγεῖν τὸ σπουδαζόμενον. Κἂν γάρ τις ἰδίᾳ ὁρμῇ πρὸς ἀρετὴν χρήσηται, ἐπιδεὴς τοῦ Θεοῦ τοῦ τὴν ἔκβασιν καὶ τὸ ἀγαθὸν τέλος αὐτῆς [χ]αριζομένου τυγχάνει. Τοῦτό τοι καὶ ἐπὶ τῶν παραδόξων ὁ Σωτὴρ ἐπιδείκνυται ἀπαιτῶν τὴν παρὰ τῶν ἰωμένων βούλησιν, ὅπου μὲν λέγων· "6Τί θέλετε ἵνα ποιήσω ὑμῖν"6; ὅπου δὲ ἀκούων παρὰ τοῦ λεπροῦ ἑτοίμου ὄντος εἰς πίστιν· "6Ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι."6 ι, 26–28. Καὶ εἶπεν ὁ Θεός· Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ τῶν κτηνῶν καὶ πάσης τῆς γῆς καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρω- πον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. Καὶ ηὐλόγησεν αὐτοὺς ὁ Θεὸς λέγων· Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν καὶ κατακυριεύσατε αὐτῆς καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ πάντων τῶν κτηνῶν καὶ πάσης τῆς γῆς καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. Ὁ ἄνθρωπος σημαίνει καὶ τὸ σύνθετον ζῷον τὸ ἐκ ψυχῆς καὶ σώματος συνεστὸς καὶ μάλιστα τὴν ψυχήν. [Τὸν] κρυπτὸν οὖν τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καρδίας ἄνθρωπον λέγει ὁ πρόκριτος 55 τῶν ἀποστόλων Πέτρος τὴν ψυχήν, καὶ Παῦλος ὁ μακά- ριος· "6Συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κα<τὰ> τὸν ἔσω ἄνθρωπον"6, του῀̣τ' ἔστιν κατὰ τὸν νοῦν, κατὰ τὴν ψυχήν. Ὅταν δὲ λέγηται· "6Ἄνθρωπός τις ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι"6, καί· "6Ἐγένετο ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γίνεσθαι"6, τὸ συναμφότερον δηλοῖ. Ἐὰν οὖν ἐπὶ τοῦ ῥητοῦ λαμβάνωμεν, τὸ σύνθετον ἄνθρωπον σημαίνει τὸ "6καὶ εἶπεν ὁ Θεός· Ποιήσωμεν ἄνθρωπον"6. Οὐ μόνον δὲ περὶ τοῦ συνθέτου ἀλλὰ μέχρι καὶ τοῦ φαινομένου καὶ αἰσθητοῦ, τουτ' ἔστιν τοῦ σώματος, παρατείνειν τὴν ὀνομασίαν τὴν τοῦ ἀνθρώπου ὁ μακάριος Παῦλος βούλεται λέγων· "6Εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ."6 Καὶ κατὰ μὲν πρώτην ἐπιβολὴν ἕκαστος ἡμῶν συνέστηκεν ἐκ ψυχῆς καὶ σώματος, εἰσὶν δὲ οἳ ἐκ τριῶν συνεστάναι λέγουσι τὸν ἄνθρωπον ἐκ ψυχῆς καὶ σώματος καὶ πνεύματος, ὃ καὶ κατασκευάζουσιν συγχρώμενοι τῷ ἀποστολικῷ ῥητῷ φάσκοντι· "6Ὁ δὲ Θεὸς τῆς εἰ[ρ]ήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς καὶ ὁλόκληρον ὑμῶν τὸ [π]νεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα"6, οὐκ ἀκόλουθον ἡγούμενοι τὸ περὶ τοῦ ἁγίου Πνεύματος εἰρῆσθαι ἵν' ᾖ ὁλόκληρον, ὃ οὐδὲ εἰς ἀσθένειαν ἐλθεῖν πέφυκεν. Τούτου οὖν ἀποδεικτικὸν παράγουσιν καὶ ἕτερον ῥητὸν οὕτως ἔχον· "6Αὐτὸ τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν"6· τὸ γὰρ ἡμῶν, φασίν, πνεῦμα ἕτερόν ἐστιν παρὰ τὸ ἅγιον Πνεῦμα, μαρτυρούμενον ὑπὸ τοῦ ἁγίου Πνεύματος, ὅταν εὖ ἔχῃ. Καὶ τὸ ἀπὸ τοῦ Δανιήλ· "6Πνεύματα καὶ ψυχαὶ δικαίων εὐλογεῖτε τὸν Κύριον"6, τοῦ αὐτοῦ παραστατικὸν οἴονται. Οἱ δὲ μὴ βουλόμενοι ἕτερον εἶναι τὸ πνεῦμα παρὰ τὴν ψυχὴν λέγουσιν ὅτι τὴν γνώμην ση[μ]αίνει διὰ τοῦ πνεύμα- τος ἢ ὅτι καὶ αὐτὴν τὴν ψυχὴν τῇ προσηγορί[ᾳ] τοῦ 56 πνεύματος ἐδήλωσεν. Οἱ δὲ πρὸς τοῦτο ἀνανεύοντές φασιν ὅτι συμπλεκτικῷ χρησάμενος συνδέσμῳ τῷ καὶ ἐν τῷ "6πνεύματα καὶ ψυχαὶ δικαίων"6 δηλοῖ ἕτερον εἶναι τὴν ψυχὴν παρὰ τὸ πνεῦμα. Κατασκευαστικὸν δὲ τὸ ἐκ ψυχῆς καὶ σώματος συνεστάναι τὸν ἄνθρωπον παράγουσιν τὸ ἐν τῷ εὐαγγελίῳ διαρρήδην λεγόμενον· "6Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεννόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυνα- μένων ἀποκτεῖναι· φοβήθητε δὲ τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεένν[ῃ]."6 Εἰ δὲ τὸ μὲν ἀποκτέν- νουσιν ἄνθρωποι, τὸ δὲ οὔ, δύο εἰσὶν τὸ σῶμα καὶ ἡ Ἐλέγομεν οὖν ἄνθρωπον καὶ τὸ σῶμα μόνον, ἀλλ' οὐχ ἁπλῶς, ἀλλ' ἔξω ἄνθρωπονμετὰ προσθήκης, καὶ μόνην τὴν ψυχὴν ἄνθρωπον οὐχ ἁπλῶς, ἀλλὰ ἔσω ἄνθρωπον, τὸν δὲ σύνθετον ἁπλῶς ἄνθρωπον μηδὲν προστιθέντες. Ζητείσθω οὖν ἐνταῦθα περὶ οὗ λέγεται πρὸς τοῦ Θεοῦ τῶν ὅλων. "6Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοιώσιν ἡμετέραν."6 Οὐ κατὰ τὸν σύνθετον τοίνυν κατ' εἰκόνα Θεοῦ ὁ ἄνθρωπος γέγονεν· οὐ γὰρ ἀνθρω- πόμορφος ὁ Θεός. Καὶ τοῦτο ἡ θεία διδασκαλία βεβαιοῖ· λέγεται γὰρ ὁ Θεὸς πνεῦμα καὶ φῶς εἶναι, φῶς δὲ καὶ πνεῦμα οὐκ ἔχει μορφὴν ἀνθρώπου. Ἀλλὰ καὶ ἑπτὰ ὀφθαλμοὺς ἔχειν τὸν Θεὸν ἡ γραφὴ διαγορεύει καθορῶντας πᾶσαν τὴν γῆν, ὁ δὲ ἄνθρωπος δύο ἔχει· οὐκ ἄρα κατ' εἰκόνα Θεοῦ ὁ ἄνθρωπος, οὕτως ἡμῶν θεωρούντων, εὑρεθήσεται. Ταῦτα δέ φαμεν οὐχ ὡς τοῦ Θεοῦ ἑπτὰ αἰσθη- τοὺς ὀφθαλμοὺς ἔχοντος, ἀλλὰ θηρεύοντες πῶς κατ' εἰκόνα Θεοῦ ὁ ἄνθρωπός ἐστιν· τὴν γὰρ τελείαν ἐποπτικὴν αὐτοῦ δύναμιν διὰ τῆς ἑβδομάδος ἐδήλωσεν ὁ λόγος καὶ δι' ἃς ἔχει ἀρετὰς ὁ ἑπτὰ ἀριθμός, ὡς ἤδη προείρηται. Πάλιν ὁ Θεὸς λέγεται πτέρυγας ἔχειν καθὰ ὁ ἅγιός φ[η]σιν· "6Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με"6, ὁ δὲ ἄνθρωπος ἄπτερον ζῷόν ἐστιν, τὸ δὲ ἄπτερον οὐχ οἷόν τε εἰκόνα κα[ὶ ὁ]μοίωσιν ἔχειν Θεοῦ, οὐκ ἐπὶ αἰσθητῶν 57 λαμβανόντων ἡμῶ[ν] τὰς τοῦ Θεοῦ πτέρυγας ἀλλ' ἐπὶ νοήσεων ὑπερβαλλουσῶν καὶ ἄνω φερουσῶν τοὺς τοῦτο ποθοῦντας. Ἐρευνητέον οὖν πῶς κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ Θεοῦ ὁ ἄνθρωπος γέγονεν. Καὶ γὰρ καὶ ὁ σοφώτατος Παῦλος τούτῳ τῷ ὀνόματι ἐπὶ τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνθρώπου χρώμενός  φησιν· "6Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλήν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων."6 Δέδεικται δὲ  ὅτι οὐ κατὰ τὸ σύνθετος εἶναι εἰκών ἐστιν· ὁ μὲν γὰρ  ἀσώματος καὶ νοερὰ οὐσία ἐστίν, ὁ δὲ σῶμα ἔχει μεμορφω- μένον. Ἑτέρως ἄρα δεῖ λαβεῖν τὸ κατ' εἰκόνα καὶ ὁμοίωσιν  αὐτὸν γεγονέναι. Ὁ Θεὸς οὖν πεποιηκὼς τὰ ὅλα πάντων τε  ἄρχων καὶ προ<ηγ>ητὴς ὑπάρχων–ὡς γὰρ δημιουργὸς  οὕτω καὶ ἄρχων καὶ βασιλεύς ἐστιν–ποιήσας τὸν ἄνθρωπον ὥστε καὶ ἄρχειν τῶν δι' αὐτὸν γενομένων  θηρίων, κτηνῶν, πτηνῶν, δείκνυσιν εἰκόνα κατὰ τὸ ἄρχειν    ἑαυτοῦ εἶναι τὸν ἄνθρωπον. Ὅτι δὲ τοῦθ' οὕτως ἔχει,  ἀπὸ τῆς ἀποστολικῆς λέξεως ἔστι μαθεῖν· "6Θέλω δὲ  ὑμᾶς εἰδέναι ὅτι κεφαλὴ παντὸς ἀνδρὸς ὁ Χριστός ἐστιν,  κεφαλὴ δὲ τῆς γυναικὸς ὁ ἀνήρ."6 Ὡς γὰρ ἄρχεται ὑπὸ  τοῦ Χριστοῦ ὁ ἀνήρ, οὕτως ἄρχεται καὶ ἡ γυνὴ ὑπὸ τοῦ  ἀνδρὸς ἔχουσα αὐτὸν κεφαλήν. Κατὰ γὰρ ἀναλογίαν ἡ  ὁμοιότης λημπτέα, ἥτις οὐκ ἐν ταῖς αὐταῖς ὕλαις ἔχει  τὴν ὁμοιότητα, καθὸ λέγομεν ὅτι, ὃν ἔχει λόγον ἰατρὸς  πρὸς τὸ ποιεῖν ὑγείαν, τοῦτον ἔχει τὸν λόγον οἰκοδόμος  πρὸς τὸ κατασκευάζειν οἰκίαν· ποιητικὸς γὰρ ἑκάτερος   ἔργου τινός.    Ἐπεὶ οὖν μιμεῖται τὸν Θεὸν ὁ ἄνθρωπος λογικὸς γεγενημένος κατὰ τὸ ἄρχειν τῶν ὑποκειμένων αὐτῷ, κατὰ  τοῦτο δύναται εἶναι κατ' εἰκόνα καὶ ὁμοίωσινΘεοῦ.  Ἔστιν δὲ μάλιστα κατὰ προηγουμένην διάνοιαν ἐκλαβεῖν τὸ προκείμενον· προείρηται κυρίως ἄνθρωπος εἶναι ὁ  νοῦς καὶ ἡ ψυχή· αὕτη μετέχουσα Θεοῦ ἐξ αὐτῆς τῆς  μετουσίας εἰκὼν αὐτοῦ γίνεται, καθὸ λέγομεν εἰκονίζ[ει]ν  τὴν ἀρετὴν τὸν μετέχοντα αὐτῆς, ὅπερ ἐπιστάμεν[ος] καὶ  ὁ ἐν Χριστῷ λαλῶν Παῦλός φησιν οἷς προτρέπεται κατὰ  58 Χριστὸν εἰκονισθῆναι· "6μέχρις οὗ μορφωθῇ Χριστὸς ἐν  ὑμῖν"6, διδάσκων ὅτι ἡ περὶ Χριστοῦ νόησις ἀληθὴς ἐγγι- νομένη ψυχῇ χαρακτηρίζει καὶ εἰκονίζει αὐτὴν κατ' αὐτόν.        "6Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν  ἡμετέραν"6· εἰκὼν τοῦ Θεοῦ ἐστιν ὁ Υἱὸς αὐτοῦ ὁ  μονογενής· Παῦλος τοῦτο διδάσκει γράφων· "6Ὅς  ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου"6, εἰκὼν δὲ οὐσιώδης  καὶ ἀπαράλλακτος· "6Ὁ"6 γὰρ "6ἑωρακὼς ἐμὲ ἑώρακε τὸν   Πατέρα."6 Ἐὰν οὖν εἴρηται πρὸς τοῦ Θεοῦ· "6Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν"6, οὐ δεῖ  διαφόρους τὰς εἰκόνας λαμβάνειν· οὐ γὰρ ἄλλη Πατρὸς  καὶ ἄλλη Υἱοῦ τυγχάνει· εἰ γὰρ ὁ ἑωρακὼς τὸν Υἱὸν  εἶδεν καὶ τὸν Πατέρα καὶ χαρακτὴρ τῆς ὑποστάσεως τοῦ   Θεοῦ ὁ Υἱός ἐστιν κατὰ τὸν μακάριον Παῦλον, οὐ δεῖ ἑτέραν  εἰκόνα ἐννοεῖν. Οὐ γάρ τι τῶν γενητῶν εἰκονίζει καὶ χαρακτηρίζει κατ' οὐσίαν τὸν Θεόν. Διόπερ οὐκ εἴρηται·  Ποιήσωμεν τὸν ἄνθρωπον εἰκόνα, ἀλλὰ κατ' εἰκόνα, ὅπερ  ἐστιν ἀπ' ἐκείνης εἰκονισθῆναι καὶ μιμήσασθαι ταύτην·  χωρητικὸς γὰρ κατεσκευάσθη ὁ ἄνθρωπος τῆς εἰκόνος.   Δεῖ δὲ κατανοεῖν ὅτι δύο τινά ἐστιν ἅ φησιν ὁ Θεὸς  γενέσθαι λέγων· "6Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα  καὶ ὁμοίωσιν ἡμετέραν"6· οἶμαι γὰρ ὅτι ἡ ὑπερβάλλουσα  ἐμφέρεια ἀπαράλλακτος ὁμοιότητα ἐμφαίνει, ὡς εἶναι τὴν  μὲν ὁμοιότητα καὶ εἰκόνος ὑπερβολήν, οὐ πάντως δὲ τὴν  εἰκόνα οὕτως ἠκριβάσθαι ὡς ἀπαράλλακτον ἔχειν ὁμοι- ότητα. Ὡσπεροῦν ἀρχὴ καὶ προοίμιον ὁμοιώσεως εἴη ἂν ἡ  εἰκών.   Πρῶτον οὖν δεῖ γενέσθαι αὐτὸν κατ' εἰκόνα, εἶτα  καθ' ὁμοίωσιν, τὸ δὲ πρῶτον οὐ χρόνῳ δεῖ λαβεῖν καὶ    μάλιστα ὅτε πρώτη ποίησις τοῦ ἀνθρώπου ἦν, ἀλλὰ κατ' ἐπί- νοιαν. Καὶ ὅτι τοῦθ' οὕτως ἔχει, ἐπιφέρει τὸ συγγραφικὸν  Πνεῦμα· "6Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα   Θεοῦ ἐποίησεν αὐτόν"6. οὐκέτι προσθεὶς τὸ καθ' ὁμοίωσιν. Ὁ γὰρ ν[οῦς] προσελθὼν τῇ θεοσεβείᾳ τυποῦται μὲν κατὰ  τὴν εἰκόνα τ[οῦ Θ]εοῦ, ὕστερον δὲ διὰ προκοπῆς τῆς  59 ἐπὶ τελειότητα καθ' ὁμοίωσιν Θεοῦ γίνεται ὅπερ <παρ>ι- στα̣ς ὁ μακάριος Ἰωάννης φησίν· "6Ἀγαπητοί, νῦν τέκνα Θεοῦ ἐσμεν καὶ οὔπω ἐφανερώθη τί ἐσόμεθα·  οἴδαμεν ὅτι ἐὰν φανερωθῇ ὅμοιοι αὐτῷ ἐσόμεθα."6 Ἤδη  γὰρ κατ' εἰκόνα ὄντες ἐλπίζουσιν καθ' ὁμοίωσιν γενέσθαι.   Ὅτι δὲ αὕτη



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔρρωται ἡ διάνοια, καὶ Παῦλος μαρτυρεῖ προτρεπόμενός τινας προκόπτειν κατ' ἀρετὴν λέγων· Ἵνα γίνησθε κατ' εἰκόνα τοῦ κτίσαντος, καίτοι ἤδη ὄντας οὕτω κατὰ τὸν λόγον τῆς οὐσιώσεως. Ὃ λέγει οὖν τοιοῦτόν ἐστιν, ὅτι πᾶς ἄνθρωπος, ᾗ μὲν δημιούργημα Θεοῦ ἐστιν, δεκτικὸς λόγου τυγχάνων, κατ' εἰκόνα ὑπάρχει, χωρητικὸς ὤν, ὡς εἴπομεν, τῆς εἰκόνος καὶ ἐπιτηδείως ἔχων πρὸς μετουσίαν αὐτῆς, εἰ δὲ κατ' ἐνέργειαν τοῦτο προσλάβοι, ὥσπερ ὁ ἐξ ἀρχῆς δημιουργηθεὶς ἄνθρωπος, ἔχει ἤδη ἐν ἑαυτῷ ἐνεργοῦν τὸ κατ' εἰκόνα. Καὶ ἔστω ἐπὶ παρα- δείγματος σαφὲς τὸ λεγόμενον. Ὁ ἄνθρωπος λογικός ἐστιν· καὶ αὕτη ἡ οὐσιώδης ἐπιτηδειότης ὑπάρχει καὶ τῷ βρέφει, τὸ δὲ λογικὸν οὔ· ἔχει οὖν καὶ τὸ βρέφος ταύτην τὴν δύναμιν· συμπληρωθέντος γοῦν τοῦ λόγου ἐπιδείκνυται ταῦτα, ἐὰν πρὸς παίδευσιν ῥέψῃ. Οὕτω καὶ τὸ κατ' εἰκόνα, ἕως μὲν οὐκ ἐπιχώννυται, φέρει τῆς πρώτης δημιουργίας τὴν ἀξίαν, ἐπὰν δὲ προσχωσθῇ κακία καὶ μοχθηρία, δεῖ δέξασθαι τὸ σάρον κατὰ τὰ ἐν εὐαγγελίῳ εἰρημένα, ὅπερ ἐστὶν ὁ τῆς μετανοίας λόγος, ἵν' ἀναπτύ- ξαντες τὴν ἐπικειμένην ἀχλὺν τοὺς τύπους τῆς εἰκόνος φανερώσωμ[εν]. Τὸ δὲ "6καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ τῶν κτηνῶν καὶ πάσης τῆς γῆς [κα]ὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς"6 κατὰ [τὴν] προτέραν διήγησιν ἐμφαίνοι ἂν 60 τὸ ἀρχικὸν τοῦ ἀνθρώπου κατὰ τῶν ὑποτεταγμένων αὐτῷ ζῴων. Θαυμάσαι γὰρ ἄν τις πῶς τὰ πάνυ ὑπὲρ τὴν δύναμιν αὐτοῦ τυγχάνοντα καὶ ἄγρια ἅμα καὶ βλάπτειν πεφυκότα καὶ προσέτι ὑπερμεγέθη πάγαις τισὶν καὶ δικτύοις ἀγρεύει· οὐκ ἂν δὲ τοῦτο οὕτως ἐγίνετο, εἰ μὴ ἀρχὴν κατ' αὐτῶν εἶχεν θεόθεν. Ἔσθ' ὅτε γὰρ καὶ ὑπὸ κομιδῇ παιδίου ἢ ἄλλως ἀνθρώπου ἀσθενοῦς ἀγέλαι πολυπληθεῖς διαφόρων ζῴων ἐλαύνονται, ὅπερ σαφῶς ἐπιδείκνυσιν θείαν τινὰ δύναμιν ἐνεῖναι τῷ λογικῷ ζῴῳ, καθ' ἣν αὐτῷ ταῦτα ὑποτέτακται. Ἀρχὴ δὲ οὐδὲν ἕτερόν ἐστι ἢ νόμιμος ἐπι- στασία. Οὐδὲν γοῦν τῶν ἄλλων ἄρχει τοῦ ὁμογενοῦς· κἄν ποτε δὲ ὁ καλούμενος κτίλος πρόβατον ἐξάρχῃ ἀγέλης κατὰ τὸ προηγεῖσθαι, οὐ λογισμῷ κατὰ τοῦς ποιμένας ἀνθρώπους, φύσει δὲ τοῦτο δρᾷ. Γέγονεν δὲ ἄνθρωπος κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ, ἵνα ἄρχῃ τῶν εἰρημένων. Ἐπειδὴ δὲ καὶ κατ' ἄλλην διάνοιαν τὸν νοῦν τοῦ ἀνθρώπου λέγομεν εἶναι ἄνθρωπον, κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ προσταχθέντα γενέσθαι, καταλλήλως λαμβάνομεν αὐτὸν ἄρχειν θηρίων ἐκείνων περὶ [ὧν] εὐχὴν ἀναπέμπων φησὶν ὁ ἅγιος· "6Μὴ παραδῷς τοῖς θηρίο[ις] ψυχὴν ἐξομο- λογουμένην σοι"6, ἅπερ εἶεν αἱ ἀντικείμεναι ἐ[νέρ]γειαι, ὧν ἔξω γενέσθαι τὴν ἐξομολογουμένην ψυχὴν εὔχεται, ἢ λογισμοὶ πονηροὶ παρ' αὐτῶν ὑποβαλλόμενοι. Πάλιν τῷ Ἰὼβ λέγεται· "6Ἰδοὺ θηρία παρὰ σοὶ χόρτον ἴσα βουσὶν ἐσθίει"6, οὐχ ὅτι τὰ κατὰ τὸ πρόχειρον θηρία παρὰ τῷ Ἰὼβ ἐξήλλακται τὴν φύσιν, ἀλλ' ὅτι τὸ ἀτίθασον τῶν ἐναντίων δυνάμεων ἐξημεροῦτο μὴ σθένον πρὸς τὸ μέγεθος τῆς ἀρετῆς τοῦ ἁγίου. Καὶ πολλὰ ἔστιν εὑρεῖν ἐν τῇ γραφ[ῇ] ζῷα μυστικῶς ἀναγόμενα. Καὶ γὰρ ἰχθύες εἰσὶν συμβο- λικῶς καλούμενοί τινες ἐν ἀνθρώποις, οὓς ἑλκεῖ ἡ βληθεῖσα βασιλεία τῶ[ν οὐρα]νῶν εἰς τὴν θάλασσαν. Ἀπὸ γὰρ παντὸς γένους, τοῦτ' ἔστιν ἀ[πὸ] παντὸς ἤθους ἀνθρώπων καὶ ἔθνους ἄγει τὸ κήρυγμα τοῦ λόγου. Ἄρχει οὖν καὶ τῶν 61 ἰχθύων τούτων. Καὶ πετεινὰ δέ εἰσιν νοητά, τὰ μὲν ψεγόμενα, τὰ δὲ ἐπαινούμενα· "6Νεοσσοί"6 φησιν "6γυπῶν τὰ ὑψηλὰ πέτοντα"6, καὶ περὶ τοῦ καταλαλοῦντος πατρὸς ἢ μητρὸς εἴρηται· "6Ἐκκόψαισαν αὐτὸν κόρακες ἐκ τῶν φαράγγων καὶ καταφάγοισαν αὐτὸν νεοσσοὶ ἀετῶν"6, ἅπερ ἐπὶ ἱστορίας οὐκ ἂν εἴη, ἐπὶ παντὸς τόπου δυνατοῦ ὄντος εὑρίσκεσθαι κακολογοῦντα τοὺς γονεῖς, κοράκων πανταχόσε μὴ εὑρισκομένων· ἀλλὰ δῆλον ὡς τούτῳ τῷ σφάλματι ἐνεχόμενος ὑπὸ σκοτίων ἐνεργειῶν τρόπον τινὰ δαμάζεται καὶ κατεσθίεται, αἵτινες ταπειναὶ τυγχάνουσιν, φάραγξιν ἐνδιατρίβειν εἰωθυῖαι. Καὶ ἐπὶ τῶν ἄλλων ὁ φιλόκαλος εὑρήσει καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπαινετῶς καὶ ψεκτῶς ζῷα λαμβανόμενα. Ἄρχειν οὖν ὁ ἄνθρωπος τούτων ἁπάντων τέθειται, κατ' εἰκόνα Θεοῦ γεγονώς. Οἱ ἀπόστολοι εἰς ταύτην τὴν κατάστασιν ἐληλυθότ[ε]ς ὥστε κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ εἶναι ἦρχον τῶν ἰχθύων τ[ῆ]ς νοητῆς θαλάσσης, ἁλεεῖς ὑπὸ Χριστοῦ γεγενημένοι εἰπόντος πρὸς αὐτούς· "6Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλεεῖς ἀνθρώπων"6, ὡς καὶ τῷ Πέτρῳ· "6Ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν"6, τοὺς ἐν τῇ εἰρημένῃ δηλονότι θαλάσσῃ ἐννη- χομένους. Ὅτι δὲ καὶ θηρίων ἄρχοντες ἦσαν, ἐξουσίαν εἰλήφασιν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Ἀλλὰ καὶ ἐν τῷ ψαλμῷ δείκνυται ὡς παρὰ Θεοῦ ἐξουσία τῷ δικαίῳ κατὰ τῶν τοιούτων δέδοται, λέγοντος τοῦ ἁγίου Πνεύματος πρὸς τὸν ἐνάρετον· "6Ἐπ' ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ καὶ καταπατήσεις λέοντα καὶ δράκοντα."6 Δέδωκεν δὲ αὐτοῖς καὶ τῶν πετεινῶ[ν] ἐξουσίαν τῶν ἁρπαζόντων τὸν ὑπὸ τοῦ λόγου πεμπόμενον σπόρον, ἵνα θηρεύοντες αὐτὰ πόρρω αὐτοὺς ἀποπέμπωσιν, ἔτι δὲ καὶ τῶν κτηνωδεστέρων ἀνθρώπων, περὶ ὧν εἴρηται· "6Μὴ γίνεσθε [ὡ]ς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστιν σύνεσις"6, καί· "6Ἵπποι θηλυμαν[εῖ]ς ἐγενήθητε."6 Ἄρχουσι δὲ τούτων ἁπάντων 62 οἱ ἅγιοι μετατιθέντες αὐτοὺς ἀπὸ τῶν χειρόνων ἐπὶ κρείτ- τονα διὰ τοῦ λόγου. Ἀλλὰ καὶ τῶν ἑρπετῶν ἐξουσίαν εἴληφεν ἄνθρωπος, ἅπερ εἰς τὰς ἡδονὰς καὶ τ[ὰ] πάθη ἀναφέρων οὐκ ἂν ἁμάρτοις, ἀπεχόμενος τῶν σαρκικῶν ἐπιθυμιῶν ἐν τῷ κατεξανίστασθαι αὐτῶν καὶ νεκροῦν "6τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν, κακήν"6. Καλῶς δὲ κατὰ τῆς ἀνταποδόσεως ἔχει λεγούσης· "6Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν."6 Τῆς γὰρ προστάξεως περιεχούσης, πρὸς τῷ "6κατ' εἰκόνα"6, "6καὶ καθ' ὁμοίωσιν"6 αὐτὸν γενέσθαι, ἡ ἀνταπόδοσίς φησιν ὅτι "6κατ' εἰκόνα ἐποίησεν αὐτόν"6, οὐ προσθεῖσα τὸ "6καθ' ὁμοίωσιν"6, περὶ οὗ ἐν τοῖς ὀλίγῳ πρότερον διειλήφαμεν. Τὸ δὲ "6ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐ[τ]οὺς"6 ἐξεταστέον, πῶς, περὶ ἑνὸς ἀνθρώπου προστάξαντος τοῦ Θεοῦ, ἡ ἀνταπόδοσις λέγει· "6Ἐποίησεν αὐτούς."6 Καὶ εἴη ἂν κατὰ τὸ ῥητὸν ἀπόδειξις αὕτη τοῦ ὁμοούσιον εἶναι τὴν γυναῖκα τῷ ἀνδρί, ὑπὸ ἓν εἶδος αὐτῶν ταττομένων καὶ διὰ τοῦτο εἰρημένου τοῦ "6ποιήσωμεν ἄνθρωπον"6· τὸ δὲ "6ἄρσεν καὶ θῆλυ"6 παραστατικὸν τῶν τμημάτων <ὧν> τῆς διαδοχῆς ἕνεκεν ὁ Θεὸς ᾠκονόμησεν, ἐμφαῖνον ἅμα ὡς καὶ ἡ γυνὴ "6κατ' εἰκόνα Θεοῦ"6 ἐστιν, τῶν αὐτῶν δεκτικοὶ ἀμφότεροι, μιμήσεώς τε τῆς πρὸς Θεὸν καὶ τῆς τοῦ ἁγίου Πνεύματος μετουσίας καὶ ἀναλήμψεως ἀρετῆς. Καὶ ἐπεὶ ἐλέγομεν δηλοῦσθαι τὴν ἀνθρώπου π[ρο]σηγο- ρίαν καὶ ἐπὶ τοῦ νοῦ καὶ ψυχῆς, νοήσομεν κατ' ἀναγωγὴν οὕτω τὸ "6ἄρσεν καὶ θῆλυ"6, ὡς ὁ μὲν δυνάμενος διδα- σκ[α]λικὸς εἶναι, ὡς τὸν τοῦ λόγου σπόρον εἰσ̣ιέναι ταῖς παραδέξ[ασ]θαι δυναμέναις ψυχαῖς, οὕτως ἂν ἄρρην εἴη, 63 ἐκείνων συμβ[ολι]κῶς τὸν θήλεος ἐπεχόντων τόπον τῶν ἀφ' ἑαυτῶν μὲν τίκτειν οὐδὲν δυναμένων, τὰς δὲ παρ' ἑτέρων παιδεύσεις δεχομένων δίκην σπόρου. Καὶ ἐπὶ μὲν τοῦ αἰσθητοῦ παρὰ Θεοῦ τὸ θῆλυ καὶ τὸ ἄρρεν γίνεται, ἐπὶ δὲ τοῦ νοητοῦ ἑαυτῷ τις καὶ ἀπὸ τῆς ἰδίας προαιρέσεως ἢ διδασκάλου χώραν ἐπέχει, ὅς ἐστιν ἄρρην καὶ τῶν ἀγαθῶν σπορεύς, ἢ μαθητὴς τὸν ἑτέρου σπόρον δεχόμενος καὶ θῆλυ κατὰ τοῦτο τυγχάνων. Καὶ οὕτω μὲν ἄν τις νοήσαι τὰ μείζονα πρὸς τὰ ὑποδεέστερα τῶν λογικῶν δεχόμενος. Εἰ δὲ ὡς πρὸς τὸν Λόγον τοῦ Θεοῦ τις ἐκλαβεῖν βούλοιτο, πᾶσα ἡ λογικὴ φύσις θήλεος πρὸς αὐτὸν ἔχοι τάξιν. Νυμφίος ἐστὶν οὗτος τῆς λογικῆς οὐσίας· "6<Ὁ> ἔχων"6 γὰρ "6τὴν νύμφην νυμφί[ος ἐσ]τίν."6 Καὶ ἐν τῷ Ἄισματι δὲ τῶν ᾀσμάτων καὶ ἐπιθαλάμι[ος] ὕμνος ᾄδεται νύμφης πρὸς νυμφίον, τῆς ἐκκλησίας ν[ύ]μφης νοουμένης ἢ τῆς τελείας ψυχῆς τῆς ἤδη δυναμέ[νη]ς ἁρμοσθῆναι τῷ Λόγῳ, ὅστις σπορεὺς ὑπάρχει πάσης λογ[ι]κῆς οὐσίας, ταύτης δεχομένης τὴν παρ' αὐτοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὠφελίαν ἔν τε ἠθικοῖς καὶ τοῖς τῆς ἀληθείας δόγμασιν. Καὶ ἐπὶ μὲν τῶν αἰσθητῶν ἐξαλλαγὴν γενέσθαι τῆς φύσεως ἀδύνατον, ἐπὶ δὲ τῶν νοητῶν ὁ νῦν μαθήματα δεχόμενος καὶ διὰ τοῦτο ἐν τάξει θήλεος ὑπάρχων εἴη ἄν ποτε ἐκ προκοπῆς ἀνὴρ ὡς ἄλλων γενέσθαι διδάσκαλος, ὡς καὶ ἀνάπαλιν ἐκ ῥαθυμίας ἀποβαλεῖν τις δύναται τὸ διδάσκαλος εἶναι ὥστε μάλα μόγις δύνασθαι δέξασθαι παρ' ἄλλου ἃ αὐτὸς πρότερον τοὺς [ἄλλο]υς ἐπαίδευεν. Καὶ εἴη ἂν μαρτύ- ριον τῶν δεχομένων τὰς τοῦ Λόγου σπορὰς τὸ "6ἀπὸ τοῦ φόβου σου ἐν γαστρὶ ἐλάβο<με>ν καὶ ὠδινήσαμεν καὶ ἐτέκομεν πνεῦμα σωτηρίας ἐπὶ τῆς γῆς"6. Ὁ φόβος δὲ τὴν [ἁγί]αν ἐργάζεται σύλληψιν περὶ Θεοῦ· εἴρηται· "6Ὁ φόβος Κυρίου ἁγν[ός], διαμένων εἰς αἰῶνα αἰῶνος"6, 64 καί· "6Φόβος Κυρίου πάντα ὑπερέβαλεν"6, ὅντινα ἔχων τις καὶ ἐν αὐτῷ προκόπτων ὡς καὶ ἀνὴρ γενέσθαι γυναικὸς νοητῆς καὶ διὰ τοῦτο μακαρίζεσθαι, λέγοντος τοῦ ψαλμοῦ· "6Μακάριος εἶ καὶ καλῶς σοι ἔσται, ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου, οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου. Ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον"6, ὅπερ κατὰ τὴν ἱστορίαν οὐκ ἔχει τὸ ἀναντίρρητον, πολλῶν φοβουμένων τὸν Θεὸν ἀτέκνων διατελεσάντων ἢ μέχρι γήρως κατὰ τὸν Ἀβραὰμ καὶ τὸν πατέρα τοῦ Ἰωάννου Ζαχαρίαν διαμεινάντων. Ὃ λέγει τοίνυν τοιοῦτόν ἐστιν· ἡ γνώμη καὶ ἡ πίστις ἣν παρείληφεν ὁ μακαριζόμενος γυνή ἐστιν συνοικοῦσα αὐτῷ, ἔργα καὶ λόγους καὶ νοήματα θεῖ[α γ]εννῆσαι δυναμένη· εἴρηται γάρ· "6Ἡ σοφία τίκτει ἀνδρὶ φρόνη[σι]ν"6, καὶ ὁ σοφός φησιν περὶ αὐτῆς· "6Ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς"6, τῆς σοφίας δηλονότι, καὶ "6ἤγαγον αὐτὴν πρὸς συμβ[ίωσι]ν ἐμαυτῷ."6 Ὁ φοβούμενος οὖν τὸν Κύριον ταύτην ἔχει σύνοικον τὴν σοφίαν, τὴν πίστιν, τὴν ἀρετήν, ἀφ' ἧς οὐδὲν θῆλυ γεννᾷ ἀλλὰ πάντα ἄρρενα· οὐ γεννᾷ γὰρ πρᾶξιν καταγιγνωσκομένην ἢ νόημα σαθρὸν ἢ ἐλεγχόμ[ε]νον ἀλλὰ πάντα εὔτονα καὶ ἰσχυρά· "6Οἱ υἱοί σου"6 γάρ φησιν "6ὡς νεόφυτα ἐλαιῶν"6, ἅπερ φέρει ἔλαιον τρεπτικὸν φωτὸς καὶ λυτήριον πόνων. Ὁ γὰρ πνευματικὸς ἀεὶ προκόπτων πρᾶξιν ἔχει ἐλαίου δίκην, ἐπιχεομένην τῷ ἑαυτοῦ φωτί, ὃ καὶ εἰς ἀνδρείαν καὶ ἀγῶνας τοὺς κατὰ τῆς ἀντικειμένης ἐνεργείας συντελεῖ. "6Ἄρσεν"6 οὖν "6καὶ θῆλυ"6 κατὰ τὴν εἰρημένην διάνοιαν ἐκλαμβάνοντες, τὸν μὲν διδάσκοντα ἄρρενα, τὸν δὲ πρὸς διδασκάλου ἢ τοῦ Λόγου [τοῦ Θεοῦ] δεχόμενον τὰς γονὰς καὶ μορφοῦντα αὐτὰς καὶ τελεσιου[ρ]γοῦντα θῆλυ, τὰς θείας ἀρετὰς ἀπογεννῶντα, ἐξ ὧν καὶ εἰς ἄνδρα τέλειον ἀχθήσεται. ι, 28–31. Καὶ εὐλόγησεν αὐτοὺς ὁ Θεὸς λέγων· Αὐξάνεσθ[ε καὶ] πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν καὶ κατα- 65 κυριεύσατε α[ὐτῆ]ς καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ πάντων τῶν κτηνῶν καὶ πάσης τῆς γῆς καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ [τ]ῆς γῆς. Καὶ εἶπεν ὁ Θεός· Ἰδοὺ δέδωκα ὑμῖν πάντα χόρ[το]ν σπόριμον σπεῖρον σπέρμα, ὅ ἐστιν ἐπάνω πάσης τ[ῆ]ς γῆς, κ[α]ὶ πᾶν ξύλον ὃ ἔχει ἐν ἑαυτῷ καρπὸν σπέρματος σπό[ριμον] ὑμῖν ἔσται εἰς βρῶσιν καὶ πᾶσιν τοῖς θηρίοις τῆς γῆς καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ παντὶ ἑρπετῷ τῷ [ἕρπον]τι ἐπὶ τῆς γῆς, ὃ ἔχει ἐν αὐτῷ ψυχὴν ζωῆς, καὶ πάντα χ[όρτον] χλωρὸν εἰς βρῶσιν. Καὶ ἐγένετο οὕτως. Καὶ εἶδεν ὁ [Θεὸς τὰ] πάντα ὅσα ἐποίησεν, καὶ ἰδοὺ καλὰ λίαν. Καὶ ἐγένε[το ἑσπ]έρα καὶ ἐγένετο πρωΐ, ἡμέρα ἕκτη. Τὸ "6καὶ ἐ[ποίη]σεν αὐτοὺς"6 π[ερὶ ἀν]δρὸς καὶ γυναικὸς εἰρημένον οὐ ξενισ[τ]έον εἰ ἀρσεν[ικῷ χα]ρακτῆρι ἐξενήνεκται· ἔδει γὰρ ἀπὸ τοῦ ἐντιμοτέρου τ[ὴν ὀν]ομα- σίαν ἀμφοτέρων ποιήσασθαι. Οὐδέποτε γάρ τι[ς περὶ] ἀρρένων καὶ θηλειῶν διαλεγόμενος προέκρινεν ἀπὸ [τῶν] θηλειῶν πο[ι]ήσασθαι τὴν σημασίαν. "6Εὐλόγησεν αὐ[τοὺς]"6 ὡς συμπληρῶντας τὴν συμ- βίωσιν καὶ τῆς διαδ[οχῆς ἀ]ρχομένους. Τοῦτο γὰρ καὶ ἐπήγαγεν λέγων· "6Αὐξά[νεσθ]ε καὶ πληθύνεσθε"6, τὴν τέκνωσιν δηλῶν καὶ τὴν ε[ἰς τοῦ]το



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπιτηδειότητα ἀκώλυτον εἶναι καὶ ἀπαραπόδισ[τον, κ]αθ' ἣν γονεῖς ἔμελλον ἔσεσθαι τῶν ἐξ α[ὐ]τῶν, οἳ κα[τὰ τ]ὸ θεῖον πρόσταγμα πληροῦν ἔμελλο[ν] τὴν γῆν. Ε[ἴρητ]αι γάρ· "6Καὶ πληρώσατε τὴν γῆν"6, ὅπερ φρο[νι]μώτερον [νοεῖν] δεῖ· εἰ δὲ μή γε, μάχεται τῷ ἐνταῦθα λεγομένῳ τ[ὸ ··· παρ]οιμίας φερόμενον· "6Κύριος ἐποίησεν χώρας καὶ ἀοικήτου[ς."6 Καὶ γ]άρ εἰσιν ἀοίκητοι χῶραι καὶ τόποι. 66 Τὸ "6πληρώσατε τὴν γῆν"6 τὴν πρὸς οἴκ[η]σιν εἰλημμένην ἀκουστέ́ον κατὰ τὸ προσυπακούειν τῷ "6πληρω΄σατε τὴν γῆν"6 τὴν εἰς τοῦτο ἔχουσαν ἐπιτηδείως. "6Καὶ κα[τ]ακυριεύσατε αὐτῆς"6, ὅπερ τὴν ἐπιτεταμένην ἐξουσίαν [σ]ημ[αί]νει. Οὐ γὰρ μέρους ἐξουσιάζων κατα- κυριεύειν λέγεται. Τ[οῦτο] δὲ τῷ ἀνθρώπῳ Θεὸς δεδώρηται, ὡς παρεστήσαμεν, ἵνα γεω[ργήσι]μον καὶ τὸ μεταλλεύσιμον ὁ ἐν διαφόροις καὶ πολλαῖς ὕλαις [····]υς ὑπ' αὐτὸν ὑπάρχῃ. Καὶ γὰρ χαλκὸν καὶ σίδηρον καὶ ἄργ[υρον κα]ὶ χρυσὸν καὶ πολλὰ ἄλλα ἐκ γῆς ἄνθρωπος δέχεται, ἥτις α[ὐ]τῷ [καὶ ε]ἰ'ς τροφὴν ἀνεῖται καὶ σκέπην. Καὶ ἐπὶ τοσοῦτον τὴν δεσπ[οτείαν] τῆς γῆς ἐδέξατο ἄνθρωπος ὡς καὶ μετατρέπειν αὐτὴν διὰ [τέχνης], ὅταν εἰς ὕελον καὶ ὄστρακον μετάγηται καὶ τὰ ὅμοια. Τ[οῦτ' αὐτ]ὸ γὰρ δηλοῖ τὸ καὶ πάσης τῆς γῆς ἄρχειν τὸν ἄνθρωπον. Ἐπάγε[ται δὲ τ]ὸ "6ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετε[ινῶν το]ῦ οὐρανοῦ καὶ πάντων τῶν κτηνῶν"6. Καὶ γάρ, ὡς ἤδη καὶ πρό[τερον εἴ]ρηται, πάγαις καὶ μηχα- ναῖς τισιν καὶ ἀ[γ]κίστροις ἀνθρώποις [····]·τα ταῦτα τυγχάνει, ὡς καὶ τὰ φοβερώτατα οἷον λέ[ων τε] καὶ πόρδαλις, οἷς ἡ φύ[σις] ἀγριωτάτη τιθασ[εύε]σθαι πολλάκ[ις ὑ]πὸ χεῖρα ἀνθρώπων. Καὶ οὕτως ἡ κατ' αὐτῶν ἀρχὴ ὑπά[ρ]χει, τοῦ Θεοῦ τα[ύτην αὐ]τοῖς παρασχόντος. Δει῀ δὲ εἰδέναι ὡς διάφορος ὁ τῆς ἀρχῆς [ὑπάρχ]ει τρόπος. Ἀρχὴ μὲν οὐ῀ν ἐστι νόμιμος ἐπιστασία τοῦ τε ἄρ[χοντος] καὶ τοῦ ἀρχομένου· ὁ γὰρ νόμος δίδωσιν ἐξουσίαν καὶ ·[····] α'ρχῆς τῷ ἄρχοντι καὶ τῷ ὑπηκόῳ, ἵνα κατὰ ταὐτὸν καὶ ἀρχ[ων ἄρ]χῃ καὶ ὁ ὑπήκοος ὑποτάττηται, ὑφηγουμένου τοῦ νόμο[υ ὅτι οὕ]τω ποιητέον. Ἄλλως παρὰ τοῦτον ἄρχει μαθητῶν διδάσ[καλος, κ]αὶ ἑτέρως δούλων δεσπότης καὶ στρατηγὸς στ[ρ]ατοπέδο[υ. Τῶν] 67 ἀλόγων οὖν ζῴων διαφόρως ἄρχει ὁ ἄνθρωπος, ὡς εἴρηται, τῶν μὲν ἡμέρων οὕτως, τῶν δὲ ἀγρίων πρὸς ὃ πεφυ΄κασιν· οὐ γὰρ ἅπαντα βρωτά, ἀλλ' ἤδη τινὰ καὶ πρὸς θεραπείαν ἐστὶν καὶ πρὸς ἑτέραν συντελοῦντα χρείαν, ἣν ὁ φυσ[ι]ολογῶν εὑρήσει. Ἑξῆς τούτοις ἐστὶν τὸ "6Καὶ εἶπεν ὁ [Θεός· Ἰ]δοὺ δέδωκα ὑμῖν πάντα χόρτον σπόριμον σπεῖ[ρον σ]πέρμα ὅ ἐστιν ἐπάνω πάσης τῆς γῆς"6. Δέδωκεν γὰρ ὁ [Θεὸς ἐξ]ουσίαν καὶ γνῶσιν, ἵνα γιγνώσκῃ ὁ ἄνθρωπος ποῖον τῶν ἐ[πάνω] τῆς γῆς σπορίμων εἰς τροφὴν χρήσιμόν ἐστιν καὶ π[οῖον εἰ]ς θεραπείαν καὶ ποῖον εἰς ἑτέραν χρείαν. Διαφόρα δ[ὲ φύσις] τούτοις· τὰ μὲν γὰρ αὐτῶν δένδρα, τὰ δὲ λαχανώδ[η, τὰ δὲ] πόαι, καὶ ἐπὶ πάντων τὰ μὲν ἐδώδιμα, τὰ δὲ π[ρὸς ἄλλην] χρῆσιν εὖ ὄντα. Χρείαν οὐκ ἀγνοητέον μὲν το[ύτων κα]τὰ τὴν πρὸ ταύτης πρόσταξιν –ὅτε εἶπεν ὁ Θεό[ς· "6Βλαστη]σάτω ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατ[ὰ γένος]"6, ἐπάγει· "6καὶ ξύλον κάρπιμον π[ο]ιοῦν καρπόν"6, ὅτι διαφ[έρει πρ]ὸς τὸν χόρτον τὰ δένδρα, "6ξ[ύ]λον κάρπιμον"6 αὐτὰ ὀ[νομάζω]ν–οὐ μόνον δὲ τῶν ἐκ γε]ωργίας περιγινομένων [ὁ ἄνθρωπος] ἐξουσιάζεν, ἀλλ' ἤδη καὶ ὑλῶν αὐτῶν ἃς οὔτε σπείρει ο[ὔτε γε]ωργεῖ, ὡς καὶ ἐκ τούτων διαφόρους ἔχειν τὰς χρεία[ς· οὐ γ]ὰρ πόρρω τῶν οἰκουμένων τόπων ταύτας φορητὰς π[οιεῖ, δ]ῆλον ὡς πρὸς τὸ χρειῶδες τῶν ἀνθρώπων, καὶ τῷ παντὶ [τῶν φύ]των βλάστη γέγονεν· πάντα γὰρ εἰς χρείαν αὐτῶ[ν πεποίη]ται. Σφόδρα δὲ τὸ προνοητικὸν τοῦ Θεοῦ τῶν ὅλ[ων σημαί]- νεται διὰ τοῦ φάσκειν. "6Ὑμῖν ἔσται εἰς βρῶσιν κ[αὶ πᾶσιν] τοῖς θηρίοις τῆς γῆς καὶ πᾶσιν τοῖς πετεινοῖς το[ῦ οὐρανοῦ."6 Ἔ]πρεπεν γὰρ τὸν κηδόμενον ἀνθρώπων 68 καὶ τῶν εἰς [χρείαν καὶ] ὑπηρεσίαν αὐτῶν γεγενημένων ζῴων καὶ ἄλλων αὐτοῖς χρησίμων προνοεῖσθαι· καὶ γάρ, εἰ μὴ κατὰ προηγούμενον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λόγον τῶν ἀλόγων, ἀλλὰ γοῦν διὰ τὸν ἄνθρωπον καὶ αὐτῶν πεποίηται τὴν πρόνοιαν. Ἅπερ πάντα πάλιν εἶδεν ὁ Θεὸς ὅτι καλά· ἐπιφέρει γάρ· "6Καὶ εἶδεν ὁ Θεὸς πάντα ὅσα ἐποίησεν, καὶ ἰδοὺ κα[λ]ὰ λίαν."6 Καὶ πρὸ τούτου μὲν οὖν ἕκαστον τῶν γινομένων ὁ λόγ[ο]ς ἐπ̣ήνε̣σεν φάσκων· "6Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλὰ"6 ἢ "6καλόν"6· νῦν δὲ ἐ[πισ]ταμένως εἴρηται· "6καλὰ λίαν"6 διὰ τὴν πάντων ἁρμονίαν [τε καὶ] σύ̣μ̣πνοιαν. Καὶ ἔστω ἐπὶ παραδείγματος τὸ λεγόμενο̣ν [φανε]ρόν. Ὁ βουλόμενος συστήσασθαι χορὸ[ν] τοὺς καθ' ἕκαστ[ον χορε]υτὰς ἀρίστους ἐκλέγετα<ι> ὡς μηδὲν ἐλλείπειν ἕκαστ[ον πρὸ]ς τὸ̣ οἰκεῖον ἔργον· εἰ δὲ καὶ συνόψοι τούτους εἰς ὃ αὐτοὺς ἡτ̣[οίμα]σ̣εν, εὑρήσει λίαν ὑπέρβολον καλὸν τὸ ἐκ τῆς συμπνοίας α[ὐτῶν γε]νόμενον ἔργον, ὅπερ ἀφ' ἑνὸς μόνου γενέσθαι οὐχ οἷ[όν τε. Τοῦ]το καὶ ἐπὶ στρατοπέδου εὕροι τις ἄν· δεῖ γὰρ ὁπλίτην ἐν αὐ[τῷ ἄρ]ιστον εἶναι, τοξότην, στρατηγόν, σύμβουλον, ἵνα, τοῦ καιροῦ [ἐλθό]ντος, τὸ πάντων ἔργον συναπτόμενον δείξῃ τὸ τοῦ ἐπαί[νου] μέγεθος, εἰς ἕνα σκοπὸν ἀναφερόμενον. Τὴν τῶν πάντω[ν εἰς] προσάλληλα ἀναλο̣γί̣[αν] καὶ ἁρμονίαν καὶ τὸ σύμφωνον κα[ὶ τε]ταγμένο̣ν, ἔτι τε τὸ τῶ̣ν ἐναντίων ἀστασίαστον ὁ λόγ[ος ἐπι]δεικνὺς τὰ πάντα "6καλὰ λίαν"6 εἶναι διδάσκει, ἅπερ, ὡς κα[ὶ πρότε]ρον εἴρηται, οὐκ αἰσθήσ̣ει, ἀλλὰ τῷ λόγῳ κρίνεται. "6Καὶ ἐγέν[ε]το ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα ἕκτη"6· ἔδει γὰρ τὸν τοσοῦτον [κ]αὶ̣ τηλικοῦτον κόσμον ἐν τούτῳ γενέσθαι τῷ ἀριθμῷ, οὗ [ἡ και]ρ̣ονομία καὶ ἐν τοῖς φθάσασιν εἴρηται καὶ ἔτι μᾶλλον ἐ̣[ν τοῖ]ς ἑξῆς ῥηθήσεται. Τὸ μὲν οὖν ῥητὸν τοῦτο· ἐπειδὴ δὲ καὶ [ἐν τοῖς] ἔμπροσθεν πρὸς τῇ λέξει καὶ τὴν ἀναγωγὴν εἰρήκαμε[ν, 69 κα]ὶ̣ νῦν τοῦτο ποιητέον. Εὐλογοῦνται οἱ ἄνθρωποι αὐξά- νοντες καὶ πληθύνοντες τῷ τρόπῳ τῆς συναγωγῆς· προείρη- ται δ' ἤδη ὡς ὁ μὲν ἀνὴρ ὁ σπορεὺς καὶ διδάσκαλος τῶν καλῶν ὑπάρχει, θήλεια δὲ ἡ ὑποδεχομένη τὰ παρὰ τοῦ διδασκάλου μαθήματα καὶ μορφοῦσα καὶ ἀποτίκτουσα ψυχή, ὡς ἀμφοτέρων εἶναι τ[ὸ] κατόρθωμα, τοῦ μὲν διδασκάλου ὡς ἐναγαγόντ[ο]ς εἰ[ς αὐ]τήν, τοῦ δὲ μαθητοῦ ὡς εὐεικτον παράσχοντος τὴν κ̣αρ[δίαν π]ρὸς τελεσιουργίαν τῆς ἀγαθῆς πράξεως. Καὶ ἐπεὶ ἡ θεία [παίδε]υσις καὶ εἰσαγωγὴν ἔχει καὶ̣ προκοπὴν καὶ τέλος, κατὰ τ[αύτην τὸ] "6αὐξάνεσθε"6 νοητέον. Καὶ γὰ̣ρ ὁ μακάριος Παῦλος τὸ τῆ[ς εἰσαγ]ωγῆς δηλῶν καὶ τοὺς ἐν ταύτῃ ὄντας νηπίους εἰδὼς ε[ἶναί] φησιν· "6Γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα"6· ἀλλὰ καὶ τελείοις [οὕτως] λέγει· "6Ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν [παραστῆσα]ι τῷ Χριστῷ"6· ἡ γὰρ ἐκκλησία τελεία τυγχάνουσα νύμφ[ης τρό]πῳ τῷ Χριστῷ συναρμόζεται, ἄνδρα αὐτὸν ἔχουσα, περὶ [οὗ λέγε]ται· "6Ἰδοὺ ἀνήρ, ἀνατολὴ ὄνομα αὐτῷ."6 Εὐλογοῦνται οὖν [ὅσοι ἐ]κ μικρῶν τέλειοι καὶ ἐξ ὀλίγων [θ]εωρημάτων πλείονα μ[ανθά]νουσιν, αὔξησιν ἀρετῆς καὶ πλῆθος νοητῶν ἀγαθῶν δ[εχόμ]ενοι, οἱ Θεῷ προσα- νέχοντες. Οὕτω καὶ τὴν γῆν πληροῦσ[ιν, τὴ]ν ἀγαθὴν ἑαυτῶν καρπίαν· καὶ γὰρ Σωτὴρ ἐν εὐαγγελί[ῳ περ]ὶ τοῦ σπόρου τὴν καλὴν γῆν τὴν καρδίαν εἶναι τὴν ἀγαθὴ[ν ἐδ]ίδαξεν, ἥτις δεξαμένη τὸν θεῖον σπόρον πολλὰ γεννήματα ἤγαγεν κατὰ τὸ "6Σπείρετε ἑαυτοῖς εἰς δικαιοσύνην, τρυγή[σα]τε εἰς καρπὸν ζωῆς"6. Δυνατὸν δὲ καὶ περὶ διδασκάλου αὔξο[ντο]ς καὶ πληθύνοντος τοὺς μαθητευομένους νοῆσαι ὡς ἐνε[ργοῦ]ντος τὴν εἰρημένην εὐλογίαν φάσκουσαν· "6Αὐξάνεσθε κ[αὶ π]ληθύνεσθε καὶ πληρώσατε τὴν γῆν καὶ κατακυριεύσατε [α]ὐτῆς."6 Κατακυριεύει 70 γὰρ ὁ δρεπόμενος ἃ ἔσπειρεν, ὡς λεχθῆναι περὶ αὐτοῦ καὶ τῶν ὁμοίων· "6Ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει αἱροῦντες τὰ δράγματα αὐτῶν"6, εἶτε ἐ̣ν θεωρήμασιν καὶ πράξεσιν θείαις, εἶτε ἐν μαθηταῖς· [οὐ] μικρὸν γὰρ τῷ διδασκάλῳ καὶ τὸ ἀπὸ τούτων ὄφελος. Τ[ὸ δ]ὲ "6[Κ]αὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν [πετει]νῶν τοῦ οὐρανοῦ καὶ πάντων τῶν κτηνῶν"6 οὕτω ν[οηθείη]. Διάφορα ἐν ἀνθρώποις ἤθη τυγχάνει, ὡς τοὺς μ[ὲν ἀκο]ύειν "6Γεννήματα ἐχιδνῶν"6, περὶ ἄλλων λέγεσ̣θ̣[αι·



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

"6Ἵππο]ι θηλυμανεῖς ἐγενήθητε"6, καὶ πάλιν· "6Ἄνθρωπος ἐν [τιμῇ ὢ]ν οὐ συνῆκεν, παρασυνεβλήθη τοῖς κτήνεσι[ν τοῖς ἀ]νοήτοις καὶ ὡμοιώθη αὐτοῖς"6, καί· "6Μὴ γίνεσθε [ὡς ἵππο]ς καὶ ἡμίονος, οἷς οὐκ ἔστιν σύνεσις"6, καὶ ἕτερα φ[ιλόκ]αλος ἐν ταῖς θείαις γραφαῖς ἐπεσπαρμένα εὑρή[σει.] Λέγοι οὖν ἂν ὅτι ὁ τοὺς ἄλλους ὑπεραναβεβηκὼ[ς διὰ] παιδεύσεως τοὺς προε[ι]ρημένους τῆς ἀλογίας [α̣ʼ]π̣ο[σῴζε]ι, ὃ δυνατὸν δὲ καὶ οὕτως· τὰ διάφορα πάθη καὶ κι̣ν̣[ήμ]ατα τῆς ψυχῆς, πολλὰ ὄντα καὶ ποικίλα, ὑπὸ τῇ[ς] ·[···] ψυχῆς ἡνιοχεῖται, μὴ ὑποσυρομένης αὐτῆς τ[ῷ κ]ύματι τῆς τούτων φορᾶς, ἀλλὰ κρατούσης αὐτῶν καὶ α̣ʼ[ρ]χ̣ούσης κατὰ τὴν δοθεῖσαν ἐξουσίαν· "6Καὶ ἀρχέτωσαν"6 γὰ[ρ "6τ]ῶν ἰχθύων τῆς θαλάσσης"6 καὶ τὰ ἑξῆς. Ἢ οὐκ ἄρχει ἰχθ̣ύ̣ω[ν ὁ] τοὺς ἐννηχομένους τῷ κλύδωνι τοῦδε τοῦ βίου [ἐκ τοῦ] βάθους ἀνιμώμενος κατὰ τὸν Πέτρον τῷ λόγῳ τῆ̣[ς θ]είας παιδεύσεως καὶ τοὺς ἄλλως ὑψιπετεῖς δι' οἴημα ·[·]ον κατεσπακ̣ὼς ἐντιθείς τε ταπεινοφροσύνης σ[ω]τ̣ή[ρ]ιον, 71 ἐφ' ἧς ὁ Κύριος παρακ̣αλῶν φησιν· "6Μάθετε ἀπ' ἐμοῦ ὅτι πραΰς εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ"6, ἵν' οὕτως ἀπὸ̣ ταύτης εἰς θεῖον ὕψος ἐπαιρόμενοι πτεροφυήσωσιν ὡς ἀετοί, λαβόντες πτέρυγας ὡσεὶ περιστερᾶς καὶ πετασθέντες εἰς τὴν κατάλληλον κατάπαυσιν. Ἀλλὰ καὶ ὁ τοὺς ἐξηγρ̣ι̣ω[μ]έ̣νους εἰς ἡμερότητα ἄγων δείκνυσιν τῆς ἀρχῆς [τὸ μέ]γεθος. Καὶ ὁ τὰ ἴδια δὲ κινήμ̣ατα ἐπαιρόμενα κ̣[ατὰ το]ῦ νοῦ καὶ κατεξανιστάμενα λογισμῷ ἀγω[νιῶν κα]τακρατεῖν αὐτῶν τὴν παρὰ Θεοῦ δοθεῖσαν ἀρχὴ[ν ἀποδ]είκνυται, ἄρχων "6καὶ πά̣σης τῆς γῆς"6, ὅ ἐστιν τῶ̣[ν σωμ]ατικῶν ἁπάντων παθῶν, νεκρῶν "6τὰ μέλη τὰ ἐ[πὶ τῆς γ]ῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν"6, ἅ̣[περ ἑρπ]ετὰ λέγων οὐκ ἂν ἁμάρτοις. Ὧν καὶ αὐτῶν ἄρχε[ιν λέγετ]α̣ι ὑπὸ τοῦ δεδωκότος "6πάντα χόρτον σπόριμο̣ν"6 [καὶ τρ]ο̣φὴν τὴν ἄλλην, ἅπερ εὐλόγως ἂν νοηθείη τὰ̣ [τῆς θ]είας γραφῆς παιδεύματα, τροφὸς τυγχάνοντα οὐ[ράνιο]ς· "6Οὐ"6 γὰρ "6ἐπ' ἄρτῳ μόνῳ ζήσετα̣ι ἄνθρωπος, ἀλλ' ἐπὶ π[αντὶ] ῥήματι ἐκπο- ρευομένῳ διὰ στόματος Θεοῦ."6 Δέδ[ωκε] δ[ὲ] ὁ Θεὸς καὶ ἕτερον εἶδος τροφῆς ἐπάνω τῆς γῆ[ς] ε̣ʼπικ[εί]μενον· τὰς γὰρ ἀγαθὰς ἐννοίας ἐν τῷ λόγῳ [ἐ]ν̣ α̣ʼρχῇ δημιουργήσας ἐνέπηξεν, ἃς ὁ διασῴζων ὡς ζω[τ]ι̣[κ]ὸν ἀεὶ τοῦτο φυλάττειν τὸ τρόφιον ἕξει τὴν ἐν ἀρ̣ε̣[τ]ῇ δι̣α̣μονήν, μὴ καταχωννὺς τὰ παρὰ Θεοῦ δοθέντα̣ ἡμῖν [ἐ]ξ ἀρχῆς ἐν τῇ ἐννοίᾳ ἀγαθά. Δέδωκε δὲ ὁ Θεὸς "6[πᾶν] ξύλον κάρπιμον ποιοῦν καρπόν"6, ἐξ οὗ πάλιν τροφή τις δ[έ]δ[οτ]α̣ι· οἱ γὰρ τελειότεροι καὶ διακονοῦντες τὴν τῶν ἀνθρώπων σ[ωτηρ]ίαν οὗτοι ἂν εἶεν ξύλα κατὰ τὸ ε̣ἰρημένον· "6Καὶ πάντ[α τὰ ξ]ύλα τοῦ ἀγροῦ ἐπικροτήσει τοῖς κλάδοις"6, ἅπερ 72 ε[ἰσ]ὶ̣ν̣ [ο]ἱ εὐφραινόμενοι ἐπὶ τῇ σωτηρίᾳ τῶν μετα- νοούντων, παραπλήσιοι ὄντες τῷ μακαριζομένῳ ἐν πρώτῳ ψαλμῷ, ὅντινα ὁμοιοῖ ὁ λόγος τῷ ξύλῳ τῷ πεφυτευμένῳ παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὅπερ ἀεὶ ποτίζεται τῇ τῶν θείων μελέτῃ καὶ καιρίως τὸν καρπὸν ἀποδίδωσιν. Τὸ δὲ καί· "6Ὑμῖν δέδοται εἰς βρῶσιν καὶ [π]ᾶσιν τοῖς θηρίοις καὶ πᾶσιν τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ παντὶ [ἑρπ]ετῷ ἕρποντι ἐπὶ τῆς γῆς"6 οὕτω νοηθείη· ὁ κηδόμενος τῆς [σωτηρ]ίας τῶν πάντων Κύριος διάφορα φάρμα<κα> πρὸς τὰ ποικίλα τραύ[ματα] δέδωκεν, ἵνα πᾶς ὁστισοῦν ἀναπολόγητος ᾖ μὴ ἔχων ···[···] οὐκ ἔσχεν τὰς τοῦ λόγου ἀφορμάς· οὕτω καὶ οἱ θεραπ[ευταὶ] αὐτοῦ πρὸς ἕκαστον ἁρμο[ζό]μενοί φασιν καθὰ ὁ Παῦλος [·····] "6Τοῖς πᾶσιν γέγονα τὰ πάντα, ἵνα πάντως τινὰς σώσω"6, [····]·ως καὶ προσφόρως ἑκάστῳ ἁρμο- ζόμενος, καὶ οὐ βάλλω[ν τὰ ἅγι]α τοῖς κυσὶν οὐδὲ τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χ[οίρων, ἀλλ]ὰ καὶ τούτους μετάγων [ἀ]πὸ τῶν ἰδιωμάτων ὧν ἔσχον [ἐξ ἰ]δ̣ίας προθέσεως διὰ λόγου καταλλήλου αὐτοῖς εἰς παίδευσιν. [Μὴ ἑ]ρπετὸν ὑπάρχῃ τις καὶ διὰ τοῦτο εἰς βάθος κακῶν ἀφίκηται, ο[ὐ]κ ἐστέρηται τῆς ἐπιγνώσεως τοῦ καλοῦ, ὅνπερ τρόφιον [ἐπ]άνω τῆς γῆς ὁ Θεὸς δέδωκε[ν] τῇ ψυχῇ ἐξ ἀρχῆς ἐνεὶς τὰς κ[αλ]ὰς ἐννοίας, ἃς ὁ διακαθαίρων ἕξει ζωτικὴν τροφήν. "6Καὶ εἶδεν ὁ Θεὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πάντα ὅσα ἐποίησεν καὶ ἰδοὺ πάντα καλὰ λίαν"6· ὡ[ς] γὰρ ἐν τοῖς αἰσθητοῖς ἐλέγετο ὅτι ἡ ἑκάστου πρὸς ἕκαστον ἁρμονία τὸ ἐπιτεταμένον καλὸν δείκνυσιν, οὕτω καὶ τῶν κατὰ ἀρετὴν τόδε πρὸς τόδε ἔχον τὴν ἀναλογίαν, πρ[ὸ]ς [τ]ὸ ἐπὶ πᾶσι τέλος ἔχον τὴν ἀναφοράν, "6λίαν"6 ἐπαινετὸν τ[ὸ] λ̣[εγ]όμενον δείκνυσιν. "6Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένε[τ]ο π̣ρωΐ, ἡμέρα ἕκτη."6 Τὰ περὶ τοῦ ἕκτου ἀριθμοῦ καὶ νῦν ἐφαρμ[ο]- στ̣[έ]ον πολλῷ πλέον, ὅσῳ τὰ ἐπαινούμενα νῦν κρείττονα 73 τῶν αἰ[σ]θ[η]τ̣ῶ[ν] ἐστιν. Ἐπ' ἐκείνων γὰρ ἐλέγετο ὡς ἥρμοζεν ἐν τῷ ἀριθμῷ τούτῳ, τελείῳ τυγχάνοντι καὶ ἐκ τῶν ἑαυτοῦ μερῶν ἀπαρτιζομένῳ, τόνδε τὸν κόσμον γενέσθαι, ἔχοντά τι παθητὸν καὶ δρ̣αστήριον· πολλὰ γὰρ ἐν αὐτῷ καὶ ποι̣εῖ καὶ πάσχει, εἰ καὶ οὐχ ἅμα, [ὅπε]ρ συμβολικῶς καὶ ἐν τῷ ἀριθμῷ οἱ τὰ περὶ τούτων φυσιο- λογο[ῦ]ν[τες] λέγουσιν. Εἴη δὲ καὶ κατὰ τὸν τῆς ἀναγωγῆς λόγον οἰκείως [τέλειο]ς ἀριθμὸς παραλημφθείς· τέλειον γὰρ ὄντως ἡ ἀρετὴ κα[ὶ μὴ ἐλλ]ειπὲς καὶ πληρέστατον, ἅτε Θεοῦ τελειότερον δώρημα. Ἄχρ[ι πάντω]ν τῶν ἐν ταῖς σαφηνισθείσαις ἓξ ἡμέραις γεγενημένω[ν φθά]σαντες περιγράψομεν τὸν λόγον, εὐχό- μενοι τὸν τῶν [ὅλων] Θεὸν καὶ δημιουργὸν τοῦ τελείου καὶ πληρεστάτου κόσμου δοῦναι καὶ ἐν τοῖς ἑξῆς τελείαν πρὸς τὰ λεγ[όμενα νό]ησιν.

ιι, 1–3. [Καὶ σ]υνετελέσθη ὁ οὐρανὸς [καὶ ἡ γ]ῆ καὶ πᾶς ὁ κόσμος αὐτῶν καὶ συνετέλεσεν ὁ Θεὸς ἐν [τῇ ἡ]μέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ, ἃ ἐποίησεν, καὶ κατέπαυ[σεν ἐ]ν̣ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐ[ποίησ]εν. Καὶ εὐλόγησεν ὁ Θεὸς τὴν ἡμέ[ρα]ν τὴν ἑβδόμην καὶ ἡγίασεν αὐτήν, ὅτι ἐν αὐτῇ κατέπαυσεν [ἀ]π̣ὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ Θεὸς ποιῆσαι. Τὸ "6συνετελέσθη"6 ὁτὲ μὲ[ν] τὴν φθορὰν σημαίνει, ὁτὲ δὲ τὴν ὕπαρξιν. Ὅταν γοῦν τὸν [Σ]ωτῆρα ἐρωτῶσιν οἱ μαθηταί· "6Πότε ταῦτα ἔσται, καὶ τί τὸ σημε[ῖο]ν τῆς σῆς παρουσίας καὶ συντελείας τοῦ αἰῶνος;"6, περὶ τοῦ τέλο[υ]ς ἐστὶ τὸ τῆς συντελείας σημαινόμενον, ὅπερ ἀντὶ φθορᾶς [τ]οῦ κόσμου εἴωθε λαμβάνεσθαι· ἐνταῦθα δὲ τὸ συνετελέσθ[η] ἀν[τὶ] του ̃ ἐπληρώσθη κεῖται. Οὐ γὰρ ἡ ὕπαρξις αὐτῶν συντετέλε̣[σ]τα[ι], ἀλλ' ἡ ποίησις, καθὸ λέγομεν καὶ ἐπὶ τῶν ποιητικῶν τεχνῶν με[τ]ὰ τὰς ἐνεργείας τὸ τέλος ἐπιφερουσῶν ὅτι φέρε συνετ[ε]λέσ̣θ̣η ἡ ναῦς ἢ οἶκος. Συντετέλεσται οὖν ὁ μὲν οὐρανὸς τὴ[ν] ο̣ἰκεί[α]ν 74 ἁρμονίαν δεξάμενος, ἥτις ἔκ τε τοῦ στερεώματος καὶ τ̣ω̣ ̃ν φωστήρων καὶ προσέτι τῶν ἀστέρων ἐδέξατο τὴν διαπ̣λήρωσιν, ἡ δὲ γῆ ἔκ τε τῶν ζῴων καὶ τῶν διαφόρων φυ̣τ̣ῶν. Καὶ ὅτε μὲν ἕκαστον αὐτῶν ἐγίνετο, τὸ "3συντετέ- λ[εσ]ται"3 οὐχ ἥρμοζεν, νῦν δέ, α̣῾πάντων τὴν σύμπνοιαν κ[αὶ τ]ὴ[ν] ἁρμονίαν δεξαμένω̣ν, ἀκολούθως ἐπενήνεκται [τὸ "6Συνε]τελέσθη ὁ οὐρανὸς καὶ η῾ γη̣ ̃ καὶ πᾶς ὁ κόσμος αὐτῶν"6. Κα̣[ὶ λέγε]τ̣αι μὲν ὁ κόσμος τῆς γη̣ ̃ς καὶ πλήρωμα αὐτῆς κατὰ τ[ὸ λεγόμε]νον· "6Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς."6 Ὅτι καὶ ἡ τ[οῦ οὐρανο]ῦ ποικι[λ]ία κόσμος προσηγόρευται, αὐτὸς Μωσῆς αὐ[ταῖς λέ]ξεσίν φησιν· "6Μὴ ἀναβλέψας εἰς τὸν οὐρανὸν καὶ ἰ[δὼν τὸν] ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας, πάντα τ̣[ὸν κόσ]μον τοῦ οὐρανοῦ, πλανηθεὶς προσκυνήσῃς αὐτοῖς"6, οἵ[τινες διὰ] τ̣ῆς θέσεως, ἧς παρὰ Θεοῦ ἐτέθησαν, τὸ κάλλος ἐπι̣[δείκνυ]νται <ἐν τῷ>, τῶνδε μὲν τάσδε τὰς περικυκλήσεις κινουμ̣[ένω]ν̣, τούσδε δὲ μετὰ τῶνδε εἶναι, καὶ τούσδε μὲν ε̣π̣' [εὐ]θ̣είας ποιεῖσθαι τὴν κίνησιν, τούσδε δὲ ἐγκαρσ̣ι̣῾ω̣ς. Στρατιὰ γοῦν οὐρανοῦ διὰ τ[ὸ] τεταγμένον εἴρηται κατ̣ὰ̣ τ̣ὸ̣ εἰρημένον· "6Οὖ αἱ χεῖρες ἔκτισαν πᾶσαν τὴν στρατ̣ι̣ὰ̣ν του ̃ οὐρανοῦ."6 Περὶ ἣν οἱ μὴ καλῶς ἐπιστήσαντες ἀπεσφ̣α̣῾λη[σ]αν εἱμαρμένην εἰσηγησάμενοι καὶ πάντα κατ' ἀν̣α̣῾γκ[η]ν τιθέμενοι, ποιητι- κοὺς τοῦ βίου τῶν ἀνθρώπων καὶ τῶν ἄλ̣λ̣ω̣[ν] συμβαινόντων τοὺς ἀστε῾ρας εἶναι ὁρίζοντες, οἳ ε̣ἰ̣ς [τὸ] σημεῖον, εἰ οὐκ εἰς τὸ ποιεῖν, τέθεινται καθὰ καὶ οτ··· [πε]ρὶ τῶν ἐν τῇ τετάρτῃ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡμέρᾳ γεγενημένων διηγο̣ύ̣[μ]ενοι τὸ "6Ἔστωσαν εἰς σημεῖα <καὶ εἰς> καιροὺς καὶ
μῆνας καὶ ἐνι[αυ]τοὺς"6 ἀπεδείξαμεν, παρατιθέμενοι ὡς οὐ κατηνά̣γ[κα]σται ἐκ 75
τῶν ἀστέρων ὁ βίος ὁ ἀνθρώπινος. [Οὐ] γὰρ οἱ ἐν πολέμῳ καὶ τοῖς καθολικοῖς
συμπτώμασι̣ν̣ ἀπαλλαττόμενοι τοῦ βίου ὑπὸ ἕνα σχηματισμό[ν ε]ἰσιν. Ἔτι δὲ
μᾶλλον [ὁ] τῆς εἱμαρμένης ἀ[νατ]ρ̣έπεται λόγος ἐκ τῶν νό[μ]ων· πάντες Ἰο[υδαῖοι]
ὀγδόῃ ἡμέρᾳ ἔχοντες [ἀ]πὸ γενέσεως π[εριτέμ]νονται καὶ πεῖραν σιδήρου ἐξ ἔτι
σπαργάνων δ[έχοντ]αι, καὶ οὐ δήπου τις εἰπεῖν ἔχοι ὡς ἅμα πάντες [ὑπὸ μ]ίαν ὥραν
ἀποτίκτονται, πανταχόσε σχεδὸν ἐπ̣[ὶ γῆς] κ̣αὶ καθ' ἡμέραν Ἰουδαίων γεννωμένων·
ἀλλὰ [καί τινα]ς̣ Αἰθιόπων τὰς κόγχας τῶν γονάτων ἅμα γενέσ̣θ[αι περιαιρεῖ]σθαί
φασιν, καὶ οὐδ' οὗτοι ἅμα τὴν γένεσιν ἔχ[ουσιν]· καὶ ἁπαξαπλῶς τὰ διάφορα ἔθη καὶ
νόμιμα κα[τὰ τὰ ἔθ]νη ἀναιρεῖ τὴν εἱμαρμένην. Εἰ δὲ τοῦτο καθ' εἱμ[αρμέ]ν̣ην οὐ
χωρεῖ, πολλῷ πλέον οὐδὲ τὰ προαιρετικά. Εἰ γὰ̣ρ ἡ μὲν εἱμαρμένη ἐξ ἀνάγκης
ἐπάγει τὰ συμβαίνο̣ν̣τ̣α, ἡ δὲ προαίρεσις περὶ τὰ ἐνδεχόμενα ἔχει, οὐκ ἔ[σ]ται περὶ
ταῦτα εἱμαρμένη. Ἀρετὴ γὰρ καὶ κακία τὸν ἔχον[τα] η̣ ̔ μ̣ὲ̣ν̣ ὠφέλησεν, ἡ δὲ
ἔβλαψεν, ἕκαστος δὲ τῶν δρώντ[ω]ν ἢ̣ κ̣ο̣λάζεται ἐκ τῶν ἐπιτηδευ- μάτων τῶν
φαύλων, ἢ [ἐπ]αινεῖται κατορθῶν· τὰ δὲ ἐξ ἀνάγκης συμβαίνοντα [···]····αι· τὸν ἐξ
ἀνάγκης τι ἐνεργοῦντα οὐδεὶς οὔτ' ἀπ[οδέ]χε̣τ̣αι, οὔτε μέμφεται. Ἄλλως τε, εἰ οἱ
νόμοι ἐξ εἱμαρμ̣[έ]ν̣η̣ς καὶ οἱ τούτοις μὴ πειθόμενοι ἐξ εἱμαρμένης, ἑαυ[τήν], ω̣ς̔
ἔοικεν, ἀναιρεῖ καὶ ἀνατρέπει. Σημαντικοὶ οὖν εἰσ̣ι̣[ν ο]ἱ̣ ἀ̣σ̣τ̣έρες, οὐ ποιητικοί,
σημαί- 76 νοντες ἢ ἐφ[η]μερίας ἢ λοιμικὰ καταστήματα ἢ ἕτερόν τι ὃ τῷ
προνοουμένῳ δοκεῖ, καὶ ταῦτα μὲν περὶ τούτου· ἐπανέλθωμεν δὲ ἐπὶ τὸ ἐξ ἀρχῆς
προκείμενον· "6Κα̣ὶ̣ συνετέλεσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ, ἃ
ἐποίησεν"6, ὅπερ ἐμφαίνει ὡς περὶ μόνων ὧν πεποίηκ[εν] εἶναι τὴν συμπλήρωσ[ιν.
Εἰ]σὶν γὰρ ἔργα καὶ ἃ μηδέπω γ[έγο]ν[ε]ν, προαναπεφώνη[το δ]ὲ ὡς ἐσόμενα, οἷον ἡ
ἀνά[στασις] τῶν <νεκρῶν> καὶ ὅλως τ[ὰ κατὰ] πρόνοιαν ἔσεσθαι μέλλοντ[α, ἅπερ.
τ]ῇ οἰκείᾳ. ἀκολουθίᾳ [πα]ρὰ Θεοῦ γίνεται. Καλῶς οὖν ἡ [προσθή]κη "6ὧν ἐποίησεν
ἔργων"6 πρόσκειται. Δεῖ δὲ κα[ὶ τοῦτο] θ̣εωρεῖν, ὅτι οὐκ ἐνεργήσας τι τῇ ἑβδόμῃ
"6κατέπαυσεν"6 ὁ [Θεός, –ἤ]δη γὰρ ἅπαντα συντετέλεστο, –"6εὐλόγησεν"6 δὲ
μ[όνην "6τ]ὴν ἡμέραν τὴν ἑβδόμη[ν] καὶ ἡγίασεν αὐτήν"6, καὶ τ[ούτοις δὲ] ἐ̣πάγει
τὸ λόγιον φάσκ[ον]· "6Ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ [πάντ]ων τῶν ἔργων αὐτοῦ,
ὧ[ν ἤρ]ξατο ὁ Θεὸς ποιῆσαι."6 "6Ὧν ἤρξατο"6· [οὐ γὰ]ρ πάντων τῶν ἔργων ἀρχ[ὴ]
γέγονεν ἔν τινι τῶν ἓξ ἡμερῶ[ν· ἄ]γγελοι καὶ ἀρχάγγελοι [καὶ] πᾶσα ἡ νοερὰ οὐσία
οὔτε ἀρχὴν ἐδέξατο. Καὶ ὅτι τοῦτο οὕτ[ως] ἔχει, ὁ Θεὸς αὐτὸς ἐν τῷ Ἰὼβ λέγει·
"6Ὅτε ἐγενήθησαν ἄστρα, ᾔ[νε]σάν με φωνῇ μεγάλῃ πάντες οἱ ἄγ[γ]ελοί μου. 81
"6λοιπὸν γεγενημένης. Διὰ τοῦτο τὸ λόγιον προασφαλί- ζεται λέγον· "6Ἐὰν πνεῦμα
τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σέ, τόπον σου μὴ ἀφῇς."6 Αὕτη γὰρ ἡ πρόφασις αἰτία
πολλῶν γίνεται κακῶν, ἔτι μείζονα ὑποβαλ[ό]ντος τοῦ διαβόλου, ὅπερ καὶ νῦ[ν]
ἐνεργεῖ φθονερὸν εἰσάγω[ν] τὸν Θεόν, ὡς οὐχ ἕνεκα τοῦ μὴ βλ[αφθ]ῆναι
ἐντειλαμένου τοῦ [Θεοῦ] μὴ μεταλαμβάνειν μόνου το[ῦ] γνωστοῦ καλοῦ καὶ
πονηρ[οῦ], ἀλλὰ καὶ πρὸς τὸ μὴ γενέσθαι αὐτ[οὺ]ς θεούς, ὡς δὴ διορατικῶν α[ὐτ]ῶν
μελλόντων γενέσθαι. Ἀμέλει γοῦν ἐκ ταύτης τῆς παρεκ[δο]χῆς ὅλη αἵρεσις συνέστη
ἡ καλουμέν̣η ὀφιανή, ἥτις σεμνύνε[ι τὸ]ν ὄφιν μεγάλα περὶ αὐτοῦ, ὡς οἴεται,
λέγουσα· ἐ̣ν οἷς φησ[ιν, αὐ]τοῦ Θεοῦ θέλοντος ὡς ἐν κακοπραγίᾳ εἶναι τὸν
ἄνθρωπον, κακοπ[ραγία]ν λέγοντες εἶναι τὸ μὴ γιγνώσκει[ν] καλὸν καὶ πονηρόν,
οὕτω[ς δὲ το]ῦτο λέγουσι πανούργως· αὐτός, φησίν, ἐποίησεν ἐν καλοῖς [τὸν
ἄ]νθρωπον· καὶ ἄλλα δὲ μυθολογοῦσι περὶ τοῦ ὄφεως κακολογοῦντ[ε]ς ὃν
ἀνέπλασαν ἑαυτοῖς θεόν. Ὁμῶς ὄφις δὲ καλῶς π̣οιεῖται τὴ[ν] ἀπάτην, τὴν
ἐντρέχειαν μόνον ἀναπείθων αὐτοὺς ἔχειν οὐκ ἐπ' ἀγαθῷ, οὐδ' ὥσπερ ὁ ἀπόστολος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔλεγεν· "6Βούλομαι ὑμᾶς σοφοὺς μὲν εἶναι εἰς τὸ ἀγαθόν, ἀκεραί[ο]υς εἰς τὸ κακόν."6 Ὁ δὲ ὄφις θέλων αὐτοὺς εἶναι σοφοὺς εἰς τὸ κακὸν τοὺς ἐπὶ τοῦτο ὀφθαλμοὺς ῥέποντας ἀνοῖξαι ἠβούλετο, οἵτινες τῆς ἀρετῆς ἐνεργουμένης οὐ διανοίγονται ἀλλὰ κεκλεισ[μ]ένοι τυγχάνουσιν τύφλωσιν ὠφέλιμον ὑπομέ- νοντες, ἥντινα [ἐ]νεργεῖν φησιν <Ἰησοῦς> ἐν τῷ εὐαγγελίῳ λέγων. "6Ἐγὼ ἦλθον ἵνα οἱ μὴ βλέποντες βλέπωσιν καὶ οἱ βλέποντες τυφλοὶ γένωνται."6 Ἰησοῦς δὲ καθ' ἱσ[τ]ορίαν οὐδένα τυφλὸν πεποίηκεν, ἀλλὰ τυφλοῖς τὸ βλέπειν δεδώρηται. Δῆλον οὖν ὅτι ἐκείνους τυφλοῖ τοὺς κακῶς ὁρῶντας καὶ ἀṿαβλέπειν ποιεῖ τοῖς ὠφελίμοις ὀφθαλμοῖς, οἵτινες τοῦ ἔσω ἀνθρώπου τυγχάνοντες, σῴζοντες τὸ καθαρῶς ὁρᾶν οὐκ αἰσθητῶς ἀλλὰ νοητῶς, πρὶν γν[ό]ντες καὶ τῇ αἰσθήσει λόγον ἐπιβάλλοντες, κρύπτουσιν αὐτὴν κατὰ τὸ 82 εἰρημένον· "6Σοφοὶ κρύψουσιν αἴσθη[σιν]."6 Καὶ ἵνα διὰ παραδείγματος σαφὲς γένηται τὸ λεγό[με]νον, καὶ αἴσθησις ἡ ἁφὴ ἀντιληµπτική [ἐ]στιν θερμῶν καὶ ψυχρῶν, [σκ]ληρῶν καὶ ἁπαλῶν, τραχέων καὶ λείων, καὶ ἀλόγῳ δὲ καὶ παιδίῳ ταῦτạ κατὰ τὴν ἁφὴν δῆλα τυγχάνει· ὅταν δὲ φέρε ὁ ἰατρὸς ἅπτηται ἰπώ̣[σ]εως, κρύπτει τὴν αἴσθησιν, λόγον τῇ κινήσει τῶν σφυγμῶν ἐπιβά̣λ̣[λων]. Οὕτω καὶ τὰς εἰκόνας οἱ μὲν ἰδιῶται αἰσθήσει μόνῃ, οἱ δὲ γρα[φεῖς] τῷ λόγῳ θεωροῦσιν. Εἶχεν οὖν ὁ ἄνθρωπο[ς π]ρὸ παραβάσεως ὀφθαλμοὺς πρ[οσ]βλ[έ]ποντας τὰ πράγματα, τοῦτ' ἔστι [νόη]σιν ἐπιστημονικῶς ἐπιβά[λλου]σαν τοῖς πράγμασιν, ὡς δεῖ. Ἕως οὖ[ν τ]ούτους εἶχε τοὺς ὀφθαλμοὺς π[ροσ]βάλλοντας τοῖς καταλλήλοις θεά[μα]σιν, οὐκ ἐγίγνωσκεν τὸ κακόν, ἀντὶ τοῦ πειρᾶν αὐτοῦ οὐκ ἐδέχετο· [ὅτ]ε δὲ οὗτοι ἔβυσαν, ἠνοίχθησαν δὲ οἱ ἐπὶ τὸ κακὸν ῥέπ[ο]ṿ[τ]ες, τότε [κ]αὶ [ἐ]ξώβλητοι γεγένηνται. Τούτῳν ὁ διάβολος ἔχων τὸ θέλημα σ[οφίζε]ται τὴν γυναῖκα, φθόνον εἰσά[γε]ι Θεοῦ ἐννοεῖν αὐτήν, ἐπαγγέλ[λεται] δὲ μεγάλα, ἵνα καὶ διὰ τούτῳ[ν] δελεάσῃ λέγων· "6Ἔσεσθε ὡς θεο[ὺς γιγν]ώσκοντες καλὸν καὶ πον[η]ρόν"6, πρὸς τῷ καὶ ἔννοιαν ὑποβάλλ[ει]ν πλειόνων θεω̃ν, μήπω ̣συσπ̣[·]·̣σ ουσης τῆς δι' ἀγαλμάτων ε[ἰδ]ωλολατρείας, αἰνιττόμενος τοὺς συνα- ποστάντας ἀγγέλους αὐτῷ. ιιι, 6–7. Καὶ εἶδεν ὅτι καλὸν τὸ ξύλο[ν] εἰς βρῶσιν καὶ ὅτι ἀρεστόν ἐστιν τοῖς ὀφθαλμοῖς καὶ ὡραῖόν ἐστ[ιν] τοῦ κατανοῆσαι, καὶ λαβοῦσα τοῦ καρποῦ αὐτοῦ ἔφαγεν, καὶ ἔδωκ[εν] καὶ τῷ ἀνδρὶ αὐτῆς μετ' αὐτῆς, καὶ ἔφαγον καὶ διηνοίχθησαν οἱ ὀφ[θαλ]μοὶ τῶν δύο καὶ ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν. Τὰ τη̃ς ἀπάτης τοῦ [ὄφε]ως κρατήσαντα ἀντίστροφον αὐτῇ τὴν δοκιμασίαν ἐνεποίẹ[ι]· τὸ γὰρ εἰς βρῶσιν ἐκκείμενον οὐκ ὄψει δοκιμάζεται, πλὴν ἀρξαμ[ένη] ἡ ἀπάτη πρότερον τέρψιν τινὰ καὶ ἡδονὴν ἐργάζεται, εἰθ' ọὕτọ ἐπὶ τὴν πρᾶξιν ἐγείρει τὸν ἀπατώμενον. Μετὰ <τὸ> ḥσθῆναι ἐπὶ τοῖς ὑπὸ̣ ὄφεως εἰρημένοις ἔλαβεν διὰ συγκαṭαθέσεως καὶ ἔφαγεν τελẹσ̣ịουργοῦσα τὴν πρᾶξιν, κοινωνὸν δὲ καὶ τὸν ἄνδρα δέχεται, πọịọυ̃σα καὶ διακο- νοῦσα τὰ πρὸς ἀπάτην· τοιοῦτον γὰρ ἡ αἴσθησις, ἥνṭịνạ 83 λόγον ἐπέχειν τῆς γυναικὸς ἐφάσκομεν. Διανοιχθ̣έντων δ[ὲ] τῶν ὀφθαλμῶν "6ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν"6. Φιλεῖ γὰρ τοῦτο τ[οῖς] ἀπατωμένοις συμβαίνειν. Μετὰ γὰρ τὴν ἐνέργειαν τὸ αἰσχρọ̀ν τῆς κακίας αὐτῶν φανεροῦτα[ι] ἐπιγιγνωσκόντων ὅτι τῆς ἀρẹ[τῆς] ἐγυμνώθησαν, τοῦτο πάλι[ν] τοῦ οἰκτίρμονος Θεοῦ χαριζο[μέ]νου, ἵνα μὴ ὁ τὴν κακίαν ἐν[ε]ργῶν, παντελῶς ἀναίσθητος δ[ια]τελῶν, ἔξω παντελῶς τῆς [ἀ]ρετῆς διαμείνḥ. Ἡ οὖν ἀπάτη τ[οῦ] διαβόλου αὕτη ἐστίν, ἵνα τὰ [θ]εωρούμενα κατὰ τὸν ἀληθῆ λόγον ὑπὸ τοῦ ὄμματος τοῦ καθα[ρο]ῦ τῆς ψυχῆς αὐτὸς ἀντιστρόφως ὁρᾶσθαι ποιήσῃ, τὸ μὲν ἡδὺ [ἀν]τὶ τοῦ ἀγαθοῦ ὑποτιθείς, τὸ δ' ἀγαθὸν ἐπίπονον παραδει[κ]νύ[ων]. Οὕτω γοῦν καὶ διανοίγονται ὀφθαλμοὶ οἱ πάλαι χρησίμως κ[εκλεισ]μέ[ν]οι. Ἔστιν γὰρ ἐν ψυχῇ ὀφθαλμὸς μὲν ὁ δι' ἑαυτοῦ τοῖ[ς νοη]τοῖς ἐπιβάλλων, οὗς δὲ τὸ τῇ παρ' ἑτέρου παιδεύσει ἑπόμ[ενον], ἅπερ διαστρέψας ὁ ὄφις τὰ τῆς ἀπάτης ἐπλήρωσεν, ὡς κα[ὶ]



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τ]ὴν αἴσθησιν καὶ τὸν νοῦν βλάβην ὑπομεῖναι· ὅτε γὰρ ἡ αἴσ[θ]ησις πάσχει διαστροφήν, τότε καὶ αἱ αἱ̣ρέσεις τοῦ νοῦ διεστραμμέναι γίνονται. Εἴρηται περὶ τῶν ἀλλο- κότως κεχρημένων τοῖς πράγμασιν· "6Οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλὸν καὶ τὸ καλὸν πονηρόν."6 Ὑπήχθησαν οὖν ἡδονῇ τῇ αἰτίᾳ τῶν σφαλμάτων· κατὰ γὰρ ταύτην φασὶν καὶ οἱ ἐν τῇ σοφίᾳ τὰ ἡδέα προτ[ι]- μῶντες· *** Τὴν γὰρ ῥᾳστώνην οἱ πο̣λλοὶ προτιμῶσιν τῆς ἀρετῆς, τὴν συντονίαν οὐκ ἀποδεχόμε[ν]οι, οἵτινες καὶ ἀπ' αὐτῆς γυμνοῦνται. Καταφρονητέον οὖν τῶν ἡδέων, ἅπερ ὑπόθεσις ἁμαρτημάτων γίνεται. Εἴσι τινὲς οἵ φασιν ὅτι τὸ "6μετ' αὐτῆς ἔφαγεν Ἀδὰμ"6 δηλοῖ συγκατά[β]ασιν αὐτοῦ, ἵνα μὴ τέλεον ἀπόληται, συγχρώμενοι τῷ εἰρημέ[ν]ῳ ὑπὸ Παύλου· "6Ἀδὰμ 84 οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἐ]ξαπατηθεῖσα ἐν παραβάσει γέγονεν"6, ὡς ἱκανὸς καὶ αὐτὴν δι' [ἑαυ]τοῦ τῆς κακίας ἀποστῆσαι.

**ιιι, 7–8.** [Καὶ] ἔρραψαν φύλλα συκῆς καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα. Καὶ [ἤκουσ]αν τὴν φωνὴν Κυρίου περιπατοῦντ[ο]ς ἐν τῷ παραδείσῳ τὸ δειλινόν, [καὶ ἐκ]ρύβησαν ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώπου τοῦ Θεοῦ ἐμμέ[σῳ τοῦ] ξύλου τοῦ παραδείσου. Μενόντων τῶν προτεθεωρημένων περί τε τοῦ παραδείσου καὶ τοῦ Ἀδὰμ καὶ τῆς γυναικός, καὶ ταῦτα συνάπτομεν. Ἐπεὶ ἔγνωσαν ὅτι γυμνοί εἰσιν, ῥάψαντες φύλλα συ[κ]ῆς ἐποίησαν αὐτοῖς περιζώματα, ἀκούσαντές τε τὴν φωνὴν [Κυρίου] περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινὸν ἐκρύβησαν ἀπὸ π[ρο]σώπου τοῦ Θεοῦ ἐμμέσῳ τοῦ ξύλου τοῦ παραδείσου. Ἄξιον γὰρ μὴ [κακο]λογοῦντας τοῦς τῇ ἱστορίᾳ ἑπομένους εἰπεῖν πῶς συνέρρα[ψαν ἑ]αυτοῖς ἐκ φύλλων συκῆ[ς] περιζώματα, πῶς τε ἀκούουσι τῆς φ[ωνῆ]ς Κυρίου περιπατοῦντος οἱ ἀνάξια αὐτῆς πεποιηκότες, διὰ τί τε [τ]ὸ δειλινὸν περιπατεῖ, ἔτι τε πῶς ἐκρύβησαν, ὅ τι ἐννοήσαντε[ς] περὶ Θεοῦ, ὑπὸ τὸ δένδρον. Οἶμαι γὰρ εἰς ἅπαντα ταῦτα μὴ ἔχειν α[ὐ]τοὺς σῶσαι τὸν εἱρμὸν τῆς ἱστορίας ἄξιον τῆς ἀπὸ τοῦ ἁγίου Πνεύματος διηγήσε̣ως. Ἡμεῖς τοίνυν, ὥσπερ ἐν τοῖς φθάσασιν πεποιήκαμεν, καὶ ἐπὶ τούτων τὸ θεῖον τῶν γεγραμμένων κατανοήσωμεν. Δύο σχέσεις γυμνότητος εἰσάγει ὁ λόγος, μίαν μὲν τὴν πρὸ τῆς παραβάσεως, ἑτέραν δὲ τὴν μετ' αὐτήν, καὶ τὴν μὲν ἀνεπαίσχυντον, τὴν δὲ γνωσθεῖσαν καὶ αἰσχύνην ποιήσασαν. Ἐλέγετο μέντοι καὶ ἐν τοῖς πρότερον εἰρημένοις ὡς οὐδὲν ἄξιον αἰσχύνης ποι[ο]ῦντες ἀλλὰ πάσης ἀπηλ- λαγμένοι κηλῖδος εὐπαρρησίαστον εἶχο[ν] πρὸς Θεὸν τὴν διάνοιαν, τοιοῦτον γὰρ ἀρετή· ἐπειδὴ δὲ παραβ̣ᾶται τῆς τοῦ Θεοῦ ἐντολῆς γεγένηνται, τὸ τηνικαῦτα ἀπαμφια- σθέντες τῆς ἀρετῆς τὸ κάλλος, γυμνοὶ αὐτῆς διαμείναντε̣ς ᾐ̣σχύνοντο λογιζόμενοι ἐξ οἵων ἀγαθῶν εἰς οἷα μετέπεσαν 85 κακ[ά], ἔτι αἰσθήσεως ἐκκειμένης, ἑξῆς καὶ κρύπτονται τὸν τῶν ὅλων Θεὸν περιπατοῦντα. [Ὁ] γὰρ ἁμαρτάνων καὶ μήπω ἐκκεκομμένος τὴν αἴσθησιν, ἀλλ[' ἔ]τι περιέπων τὸ ἁμάρτημα, διελέγχεται μὲν ἀπὸ τῶν ἐνεσπαρμένων παρὰ Θεοῦ κοινῶν ἐννοιῶν, ἀεὶ δι' αὐτῶν τοῦ ποιητοῦ ἐμβοῶντος, τῷ δὲ ἔτι ἐνέχεσθαι [τῇ] ἀπάτ[ῃ τοῦ] σφάλματος ἀπολογίας πολλάκις τῶν ἁμαρτημ[ά]τω[ν] συρράπτει. Ἢ τοῦτο ἐν πολλοῖς οὐκ ἔστι φανε[ρ]όν; Πολλάκις γὰρ ὁ τῷ θυμῷ κεχρημέ̣νο̣ς ἀπολογίας πορίζεται πιθανάς, ἐξ ὧν τοῦ θυμοῦ δῆθεν παραστήσει τὸ εὔλογον, προσχρώμ[ε]νος ἐσθ' ὅτε καὶ τῇ ἀπὸ τῶν γραφῶν δείξει πρὸς τὸ συνιστᾶ[ν] τὸ ἑαυτοῦ βούλημα, ὅπερ συρράπτοντός ἐστιν ἐκ φύλλων κ[αὶ μὴ] ἀπὸ καρποῦ σκέπην τινὰ οὐ τελείαν· τοῦτο γὰρ τὸ περίζ[ωμ]α παρίστησιν. Ἔστιν γὰρ ἀκοῦσαι τῶν θυμουμένων ὡς καὶ ἅγιος θυμῷ χρησάμενος τοὺς πεντηκον- τάρχους ἀνεῖλεν καὶ [π]ερὶ ἄλλων, ἀλλὰ οὐκ ἐννοού<ν>των ὡς οὔτε ξίφει οὔτε τινὶ ἀμυντηρίῳ χρησάμενοι τοιαῦτ' ἔδρα- σαν, ἀλλ' αὐτὸν ἐπικαλεσάμενοι τὸν Θεὸν καὶ δι' εὐχῆς αὐτὸν ἐσχηκότες ἐπινεύοντα πρὸς ἐπικουρίαν, οἷς οὐκ ἄν, εἴπερ ἀπὸ θυμοῦ τὴν εὐχὴν ἐποιο[ῦ]ντο, προσέσχεν ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Θεὸς διὰ τῶν ἑαυτοῦ παραινῶν ὡς προσήκει τὸν εὐχόμενον ἐπαίρειν ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμῶν. Ἀπὸ τῆς οὖν ἀρετῆς τῶν ἁγίων οἱ προφασισταὶ καὶ τὰ ἑαυτῶν κρύπτειν σφάλματα βουλόμενοι φύλλα συρράπ- τοντες, ἀπολογίαν δῆθεν τῶν καθ' ἑαυτοὺς οἴονται ποιεῖσθαι, ἅπερ καὶ ἐπὶ τῶν πρωτοπλάστων συμβέβηκεν. Τοῖς τοιαύτῃ προθέσει κεχρημένοις διὰ τῆς συκῆς συμβολικῶς ὁ Κύριος ἐν τοῖς εὐαγγελίοις ἐπιτιμᾷ, ἐλθὼν πρὸς αὐτὴν 86 καὶ μὴ εὑρὼν εἰ μὴ φύλλα μόνον, "6Οὐ μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα"6 εἰπών. Καὶ οὐδήπου αὐτῇ τῇ συκῇ τὴν ἐπιτιμίαν εἰρῆσθαί φαμεν· οὐ γὰρ παρὰ τὴν ἑαυτῆς αἰτίαν ἡ αἰσθητὴ συκῆ καρπὸν οὐκ ἔφερεν. Ἀλλὰ καὶ τοῦ Ἰσραὴλ εἰς ἀ[σ]έβειαν ἐκπεσόντος εἴρηται· "6Οὐκ ἔστιν σταφυλὴ ἐν ταῖς ἀμ[πέ]λοις οὐδὲ σῦκα ἐν ταῖς συκαῖς."6 Ἔρραψαν οὖν φύλλα συκῆς πιθα[ν]ὴν ἀπολογίαν, ὡς προείρηται, πορίζοντες, ἀκόλουθος δὲ τῷ σχήματι τῆς ἱστορίας ὁ λόγος. Ἐπεὶ γὰρ παράδεισος εἰσήχθη καὶ γυμνότης καὶ μετὰ π̣αρακοὴν ταύτης ἐπίγνωσις, τὴν σκέπην ἀπὸ φύλλων λέγει ποιεῖσθαι τῷ οἰκείῳ τῆς διηγήσεως ὁ λόγος προσχρώμενος κατὰ τὸ εἰωθὸς τῇ θεοπνεύστῳ γραφῇ. Πολλάκις γὰρ ἡ ψυχὴ π̣οτὲ μὲν ἄμπελος, ποτὲ δὲ πρόβατον, ποτὲ νύμφη ἐν τῇ θείᾳ παιδεύσει λέγεται, καὶ πρὸς ἕκαστον ἀκολούθως ἐπάγει τ̣ὰ ἑξῆς ὁ λόγος. Ὅτε γὰρ ἄμπελον αὐτὴν ὑποτίθεται λέγων· "6Ἄμ̣πελος εὐκληματοῦσα Ἰσραήλ"6, τότε τοὺς διδασκάλους γεωργοὺς καὶ τοὺς ἐπιβουλεύοντας ἀλώπεκας καλεῖ· "6Πιάσατε"6 γὰρ "6ἡμῖν ἀλώπεκας μικροὺς ἀφανίζοντας ἀμπελῶνας"6· ὅτε δὲ πρόβατον αὐτὴν ὀνομάζει, τοὺς διδασκάλους ποιμένας καὶ τοὺς διαστρέφοντας λύκουσκαὶ λέοντας· εἴρηται· "6Πρόβατον πλανώμενον Ἰσραήλ, λέοντες ἐξῶσαν αὐτόν"6· ἀλλὰ καὶ ὅταν νύμφην αὐτὴν καλῇ, τὸν ἐπάγοντα εἰς τὴν ἀλήθειαν νυμφίον καὶ τὸν βλάπτοντα μοιχὸν ὀνομάζει· πάντα δὲ ταῦτα, εἰ καὶ διάφορα ὀνόματά ἐστιν, ἀλλ' ἐπὶ τὴν ψυχὴν ἀναφερόμενα οἰκείαν καὶ πρέπουσαν τῷ θείῳ Πνεύματι δέχεται τὴν νόησιν, οὐχ ὅτι αὕτη ἢ πρόβατον ἢ νύμφη ἢ ἄμπελός ἐστιν. Ἀκολούθως οὖν, παραδείσου μνήμης γεγενημένης, διὰ τὸ σχῆμα τῆς λέξεως φύλλων ἐμνημόνευσεν, ἃ συνέρραψαν οἱ τῆς ἀρετῆς ἐκπεσόντες 87 κατὰ τὴν εἰρημένην διάνοιαν. Οὗτοι δ' αὐτοὶ καὶ ἤκουσαν Κυρίου τοῦ Θεοῦ περι- πατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν. Καὶ πρὸ μὲν τῆς παραβάσεως οὐ περιεπάτει αὐτοῖς ἔξω αὐτῶν τυγχάνων, ἀλλ' ἦν μετ' αὐτῶν. Τοῦ γὰρ τηροῦντος τὴν ἀρετὴν καὶ ἐν αυ̣τῇ ὄντος οἰκεῖον τοῦτο, ὡς λέγειν· "6Προορώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ"6, καὶ "6Ἐγὼ δὲ διὰ παντὸς μετὰ σοῦ."6 Τοῦ δὲ ἀνθρώπου μετὰ Θεοῦ ὄντος, καὶ ὁ Θεὸς μετ' αὐτοῦ ἐστιν· εἴρηται γάρ· "6Ἐγγίσατε τῷ Θεῷ καὶ ἐγγίσει ὑμῖν"6· ἐπειδὰν δὲ ἀποστῶσιν αὐτοῦ τινες, ἀκούουσιν· "6Ἐπορεύθη[σ]αν πρὸς ἐμὲ πλάγιοι κἀγὼ πορεύσομαι πρὸς αὐτοὺς ἐν θυμῷ πλαγίῳ."6 Καὶ ὥσπερ ὁ τὸν ἥλιον καταλείπων καὶ βύων̣ τοὺς ὀφθαλμοὺς οὐ ποιεῖ τινα τῷ ἡλίῳ ἐλάττωσιν– μένει γὰρ ὅπερ [ἦ]ν φωτίζων–, οὕτως ὁ καταλείπων Θεὸν ἑαυτοῦ βλάβην ἐργάζεται, καταλείπει δὲ αὐτὸν οὐχ ὡς ἐν τόπῳ, ἀλλὰ τὴν ἀρετὴν ἀποστρεφόμενος ὡς ἐκεῖνοι περὶ ὧν εἴρηται· "6Ἀπώσεται αὐτοὺς ὁ Θεός, ὅτι οὐκ εἰσήκουσαν αὐτοῦ, καὶ ἔσονται πλανῆται ἐν τοῖς ἔθνεσιν"6· ἐπεὶ γὰρ αὐτοὶ οὐκ ἤκουσαν, αὐτὸς αὐτοὺς ἀπώσατο. Ἐπεὶ οὖν καὶ οὗτοι διὰ τῆς παραβάσεως ἀπέστησαν αὐτοῦ, καὶ αὐτὸς αὐτῶν μεμάκρυνται μέν, διὰ δὲ τὴν ἰδίαν ἀγαθότητα περιπατεῖ, αἴσθησιν παρέχων, ὡς εἴρηται, κατὰ τὰς κοινὰς ἐννοίας, ὁπῶς ἐπιστράφωσιν. Τοῦτο δὲ γίνεται̣ τὸ δειλινὸν καταλλήλως τοῖς παραβεβηκόσιν. Τῷ μὲν γὰρ ἐν ἀρετῇ ὄντι ἀκμάζει τὸ τῆς ἀληθείας φῶς, οὐδέπ̣οτε γινομένῳ ἐν σκοτεινῇ καταστάσει–ἀκοῦσαι γοῦν ἔστιν λέγοντος τοῦ ἁγίου· "6Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σ̣ὲ ὁ Θεός"6, καὶ "6Ὁ Θεός, ὁ Θεός μου πρὸς σὲ ὀρθρίζω"6, καὶ "6Τὸ πρωῒ παρ[α̣]σ̣τήσομαί 88 σοι καὶ ἐπόψομαι"6–τότε δὲ γίνεται δειλινὴ καὶ σκοτώδης ἡ ὥρα ἐπὶ τὴν ἑσπέραν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐλαύνουσα, ὅτε τις ἑαυτὸν ἔξω τοῦ φωτὸς καθίστησιν ἐν ἀγνοίᾳ καὶ κακίᾳ γινόμενος, ὡς λέγειν τὸν Θεὸν πρὸς τὴν ἁμαρτάνουσαν ψυχήν· "6Νυκτὶ ὡμοίωσα τὴν μητέρα σου"6. Καὶ υἱοὶ δὲ νυκτὸς γίνονταί τινες καὶ σκότους, ὥστε τῷ ἁμαρτάνοντι τὸ ἀπὸ τῆς ἀγνοίας καὶ ἀσεβείας καὶ κακίας σκότος πάρεστιν. Δείκνυται δὲ ὡς οὐκ ἀθρόως ἀφῆκεν αὐτοὺς τὸ φῶς ἐν τῷ λέγεσθαι ὡς τὸ δειλινὸν ἤκουσαν τοῦ Θεοῦ περιπα- τοῦντος. Οἱ γὰρ αὔραν αἰσθήσεως ἔχοντες ἀμαυράν τινα δέχονται κατάστασιν, οὔπω εἰς παντελῆ ἐλθόντες ἄγνοιαν, ἀλλὰ φιλανθρωπ[ί]ᾳ Θεοῦ διεγειρόμενοι ἔτι ἐμβοῶντος αὐτῶν τῷ κρυπτῷ, ἵν' ἐκ [τ]ούτου ἐν μεταγνώσει γένωνται, ὡς μαθε<ῖ>ν ὅτι "6Ψάντος ἑσπέρας αὐλισθήσεται κλαυ- θμός, καὶ εἰς τὸ πρωῒ ἀγαλλίωσις"6, ἵν' οὕτω καὶ περὶ τῶν τοιούτων λεχθῇ ὡς περί τινος αἰσθομένης οἷ κα[κ]ῶν ἐστιν· "6Ὀψὲ φωνὴ αὐτῆς ὠλόλυξεν"6· ἐκ τούτου γὰρ συμβήσεται μετανοοῦντας ἐλθεῖν ἐπὶ φῶς, ὡς εἰπεῖν· "6Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ."6 Ἀκούσαντες οὖν τῆς φωνῆς Κυρίου περιπατοῦντος, ὡς εἴρηται, ἐκρύβησαν ἀπὸ προσώπου Κυρίου τοῦ Θεοῦ. Πρόσωπον δὲ Κυρίου Θεοῦ οὐχ ὡς ἀνθρωπομόρφου λέγεται· εἴρηται γάρ· "6Πνεῦμα ὁ Θεός"6· πνεῦμα δὲ οὐκ ἐκ μερῶν συνέστηκεν, ὡς τὸ μέν τι αὐτῶν πρόσωπον καλεῖσθαι ἢ ἄλλο τι τῶν ἀνθρωπίνων μελῶν. Οὐ γὰρ προσήκει τὰς περὶ Θεοῦ φωνὰς ἀνθρωπίνως ἐκλαμβάνειν, διὰ τὸ ἡμῶν χρήσιμον οὕτως εἰρημένας. Καὶ οὐδὲν θαυμα- στόν, εἰ περὶ Θεοῦ ταῦτα λέγεται, ὁπότε καὶ περὶ αἰσθητῶν οὕτως διδασκόμεθα. Ἐν γοῦν Παροιμίαις γέγραπται· "6Θάνατος καὶ ζωὴ ἐν χειρὶ γλώσσης"6, καὶ οὐχ οὕτως νοοῦμεν ὡς τῆς γλώττης χεῖρα ἐχούσης, ἀλλ' ἐνέργειαν, ἥτις χεὶρ αὐτῆς ὠνομάσθη· καὶ ἐπεὶ εἴρηται· "6Ἐκ τῶν 89 ἑαυτοῦ τις λόγων δικαιοῦται καὶ ἐκ τῶν λόγων καταδικάζεται"6, διὰ τοῦτό φησιν ὡς ἐν χειρὶ γλώσσης, τοῦτ' ἔστιν τῷ λόγῳ, "6θάνατος καὶ ζωή"6 ἐστιν, ὅτε τις εὖ ἢ κακῶς αὐτῷ χρῆται. Ἐκρύβησαν οὖν ἀπὸ προσώπου τοῦ Θεοῦ ἀποστάντες τῆς περὶ Θεοῦ καθαρᾶς νοήσεως, οὐχ ὡς Κάιν· ἐκεῖνος γὰρ ἐξῆλθεν ἀπὸ προσώπου τοῦ Θεοῦ ἀφάνταστον ἑαυτὸν αὐτοῦ παρασκευάσας κατὰ ἐκεῖνον, περὶ οὗ εἴρηται. "6Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· οὐκ ἔστιν Θεός"6· πάντες δ' οἱ ἀπρονοησίαν εἰσάγοντες ταύτης εἰσὶ τῆς ἐννοίας. Οἱ δ' ἀποκρυπτόμενοι οὐκ ἀνεννόητοι μὲν τῆς θείας εἰσὶν ἐπιστασίας, διὰ δὲ τὴν ῥυπαρίαν τῆς ἁμαρτίας τὴν παρρησίαν οὐκ ἔχουσιν, καταφρονηταί τινες ὄντες, ἀλλ' οἱ ἅγιοι ἐλευθέραν ἔχο[ν]τες τὴν συνείδησιν ἐνώπιόν εἰσι τοῦ Κυρίου, ὡς λέγειν· "6Ζῇ Κύριος, ᾧ παρέστην ἐνώπιον αὐτοῦ"6· περὶ δὲ τῶν ἁμαρτανόντων λέγεται· "6Ἔστρεψαν ἐπ' ἐμὲ νῶτα καὶ οὐ πρόσωπα αὐτῶν"6, ὅπερ ἔδει ἵν' ὡς ἱερεῖς παραστᾶται τυγχάνωσιν καὶ ὡς ἄγγελοι διὰ παντὸς βλέποντες τὸ πρόσωπον τοῦ ἐν οὐρανοῖς Πατρός. Δύναται δὲ καθ' ἕτερον λόγον ἐκλαμβάνεσθαι τὸ "6Καὶ ἐκρύβησαν ἀπὸ προσώπου τοῦ Θεοῦ"6, πρόσωπον νοούντων ἡμῶν εἶναι τὸν μονογενὴ Υἱὸν αὐτοῦ ὄντα αὐτοῦ εἰκόνα καὶ χαρακτῆρα τῆς ὑποστάσεως. Ὁ γὰρ τοῦτον ἰδὼν ἑώρακε τὸν Πατέρα. Δέον οὖν αὐτοὺς πάντα πράττειν ἐπὶ τῷ τηρεῖν τὸ κατ' εἰκόνα, καθ' ὃ καὶ γεγένηνται. Παραβᾶται θελήσαντες εἶναι τῆς ἐντολῆς ἀπέστησαν τοῦ φωτίζεσθαι ἀπὸ τοῦ εἰκόνος τοῦ Θεοῦ. Εἰκότως δὲ φεύγουσιν ὑπὸ τὸ ξύλον τὸ ἐμμέσῳ τῷ παραδείσῳ, ὃ ἦν τὸ γνωστὸν καλοῦ καὶ πονηροῦ. Ὁ γὰρ κρυπτόμενος τὸ τοῦ Θεοῦ πρόσωπον, ὡς μὴ ἐνεργεῖν τὴν ἀρετήν, ἀλλ' ἐπιμορφάζεσθαι, κρύπτεται ὑπὸ τὴν ὑπόκρισιν. Ὁ γὰρ γιγνώσκων καλὸν καὶ πονηρόν, ὡς μὴ διαστέλλειν καὶ αἱρεῖσθαι τὸ καλόν, οὕτως τῇ 90 ἐντρεχείᾳ οἴησιν ἔχων κ̣ρύπτεται Θεόν, τὴν ἀρετὴν ἐπι- μορφαζόμενος. ιιι, 9–12. Καὶ ἐκάλεσεν Κύριος ὁ Θεὸς τὸν Ἀδὰμ καὶ εἶπεν αὐτῷ· Ποῦ εἶ; Καὶ εἶπεν αὐτῷ· Τὴν φωνήν σου ἤκουσα περιπατοῦντος ἐν τῷ παραδείσῳ καὶ ἐφοβήθην, ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην. Καὶ εἶπεν αὐτῷ· Τίς ἀνήγγειλέν σοι ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου, οὗ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες. Καὶ εἶπεν ὁ Ἀδάμ· Ἡ γυνή, ἣν δέδωκας μετ' ἐμοῦ, αὕτη μοι ἔδωκεν ἀπὸ τοῦ ξύλου καὶ ἔφαγον. Πηγὴ ἀγαθότητος ὑπάρχων ὁ Θεὸς καὶ μετὰ τὰ σφάλματα πάλιν ἡμᾶς καλεῖ, τὴν παντελῆ γνῶσιν τοῦ καλοῦ μὴ ἀπαλείφων ἀπὸ τοῦ λογισμοῦ, κἂν ἡμεῖς διὰ τὴν ἁμαρτίαν τὴν ἀρετὴν ἀποστρεφώμεθα. Τοῦτο καὶ τῷ Ἀδὰμ ἐπὶ τοῦ παρόντος ὁ Θεὸς ποιεῖ, καλῶν αὐτὸν κρυπτόμενον, λέγων τε αὐτῷ· "6Ποῦ εἶ;"6 Αὐτὸς μὲν γὰρ ἐπὶ τῷ ἐργάζεσθαι καὶ φυλάττειν τὸν παράδεισον τεταγμένος ἦν ὑπὸ τοῦ Θεοῦ, τόπον τοῦτον οἰκεῖον παρ' αὐτοῦ δεξάμενος· τούτου δ' ἀποστὰς διὰ τὴν παρα- κοὴν ἀκολούθως ἀκούει παρὰ τοῦ Θεοῦ· "6Ποῦ εἶ;"6 Ὅτι δὴ τάξις, ἣν ἐγχειρίζεται τίς, τόπος καλεῖται, ἔστιν ἀπὸ τῶν Πράξεων τῶν ἀποστόλων μαθεῖν, ὁπηνίκα ἀντὶ τοῦ Ἰούδα τοῦ προδόντος τὸν Ἰησοῦν προστήσασθαι μ̣α̣θητὴν οἱ ἀπόστολοι βουλόμενοι εὐχὴν τῷ Θεῷ ἀναφέ̣- ροντες ἔλεγον· "6Σὺ Κύριε καρδιογνῶστα πάντων, ἀνάδειξον ἕνα λαβεῖν τὸν τόπον τῆς διακονίας ταύτης"6. Καὶ ἠκολούθησεν δὲ τῷ Ἀδὰμ παραβεβηκότι τὴν θ̣ε̣ί̣αν τάξιν τὸ καὶ τοῦ καταλλήλου τόπου τῆς τάξεως ἐκπεσ̣ε̣ῖν· ἐκβέβληται γὰρ ἐκ τοῦ παραδείσου. Εἴη δ' ἂν καὶ ἐντρεπ̣τ̣ι̣κὸν τὸ "6ποῦ εἶ;"6· ἐγὼ μὲν 91 γάρ σε ἐν ἀρετῇ ἔθηκα, νῦν δὲ ποῦ εἶ; ἐννοήσας αἰσχύνου. Εἴσι δ' οἱ καὶ τὴν ἀσώματον οὐσίαν κατὰ τὸ πρῶτον ὑποκείμενον τῆς ψυχῆς ἐννοοῦντες καὶ διὰ τοῦτο ἐκτὸς παντὸς τόπου αὐτὴν εἶναι προσήκειν λογιζόμενοι, παρ' ἑαυτὴν δὲ σώματος πειραθεῖσαν ἐντρεπτικῶς ἀκούειν· Που εἶ; Ἐν τόπῳ ὑπάρχεις, ἡ ἀπὸ παντὸς τόπου ἐλευθέρα διὰ τὸ ἀσώματος, ὅπερ μὴ φυλάξασα, ἀλλὰ συναφθεῖσα σώματι, ἐν τόπῳ γέγονας; Ἀλλὰ καὶ ὁ ἐν οὐρανῷ ἔχων τὸ πολίτευμα καὶ ἔχων τὴν καρδίαν ἐν οὐρανῷ διὰ τὸ ἐκεῖ τεθησαυρικέναι κἀκεῖ εἶναι οὐκ ἐν τόπῳ ἐστίν, ὑπερκόσμιο[ς γ]εγενημένος. Ἐπεὶ οὖν καὶ ὁ Ἀδὰμ οὕτως εἶχε, παρέβη δέ, οὕτω[ς] ἀκούει τὸ "6Ποῦ εἶ"6. Σὺ δὲ καὶ τὸ πρόσκεισθαι τὸ Κύριος ἐνταῦθα τῷ Θεός· λέγεται γάρ· Καὶ εἶπεν Κύριος ὁ Θεός. Ὅτε μὲν γὰρ περὶ δημιουργίας, προέκειτο· "6Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν"6· ὅτε δὲ παράβασις ἠκολούθησεν, τότε καὶ τὸ τοῦ Κυρίου πρόσκειται ὄνομα· ἕπεται γὰρ τῷ Κυρίῳ ἐπεξέρχεσθαι κατὰ τῶν ἀμελούντων διατάξεων αὐτοῦ. Καὶ ἐπιτιμίας γὰ̣ρ ἔδει, ἥτις οἰκείως ἀπὸ δεσπότου γίνεται, συγκεραν- νύντος ἀγαθό[τ]ητι τὴν ἐπιτιμίαν· διὰ γὰρ τοῦτο εἴρηται· "6Καὶ ἐκάλεσεν Κύριος ὁ Θεός"6. Τοῦτο καὶ Δαυὶδ ψάλλει λέγων. "6Ἔλεος καὶ κρίσιν ᾄσομαί σοι, Κύριε"6· μετὰ γὰρ τοῦ ἐλεεῖν καὶ τὸ κρίνειν συναπτόμενον φιλανθρωπί̣ας δεῖγμα ἐκφέρει. Καὶ γὰρ ἐπιτιμῶν ἐλέει· πρὸς τὸ συμφέρον γὰρ ἐπάγει τὰ κολαστήρια. Ἴδωμεν δὲ καὶ τὴν ἀπόκρισιν· "6Τὴν φωνήν σου ἤκουσα περιπατοῦντος ἐν τῷ π̣α̣ραδείσῳ"6. Ὅταν γάρ τις ἐν ἁμαρτίᾳ γενόμενος αἰσθήσεως βραχεία̣ς δέηται τοῦ μόνως ἔννοιαν δέχεσθαι τοῦ Θεοῦ διὰ τῆς κτίσεως ἐν ᾗ ἐμ̣περιπατεῖ τῶν ὅλων προνοούμενος τάξιν ἐπιθεὶς ἑκάστῳ τω῀ν ὄντων, τότε καὶ ἐ̣π̣ι̣σ̣τρέφει καὶ γιγνώσκει ὅτι ἐφορᾷ τὰ ὅλα καὶ διοικεῖ, οὕτω τε ἔξω καταφρονήσεως 92 γίνεται. Ὅταν γὰρ θεάσηται ἡλίου̣ μὲν τὴν τεταγμένην πορείαν, οὐρανῶν δὲ τὴν κίνησιν, σελήνης δὲ τὰς μεταβολάς, ἀστέρων δὲ τὰς κατὰ καιροὺς ἐπιτολάς, καὶ λογίσηται ὅτι ὁ τοῦδε τοῦ παντὸς ἡνίοχος καὶ ταξίαρχος ὁ τῶν ὅλων ἐστὶν δημιουργός, ἐμπεριπατῶν ὅλοις φωνῆς ἀκούει Θεοῦ, οὐ κατὰ πρόσφορον γινομένης, ἀλλ' ἐν διανοία̣ τυπουμένης, ὅτι Θεὸν οὐδὲν λανθάνει, ἀλλὰ πάντα ὑπὸ τὴν αὐτοῦ οἰκονομίαν ἐστίν. Καὶ οὕτω αἰσχυνθεὶς κρύπτεται· ὁ γὰρ ἁμαρτάνων, οὐκ ἔχων πρὸ ὀφθαλμῶν Θεὸν ἁμαρτάνει. Αἰσθήσεως δὲ καὶ τὸ εἰπεῖν· "6Τὴν φωνήν σου ἤκουσα περιπατοῦντος ἐν τῷ παραδείσῳ καὶ ἐφοβήθην, ὅτι γυμνός εἰμι."6 Αὐτὸς γὰρ ὁ φόβος ἔχοντος ἔτι διάλημψιν ὡς αἰσχρὸν ἡ κακία καὶ κολαστέον. Τοῦ δὲ φόβου αἴτιον εἶναί φησιν τὴν γυμνό[τη]τα, ἥτις ἐκ τοῦ ἀπολωλεκέναι τὴν ἀρετήν, ἥτις ἦν σκέπασμα· ἔνδυμα γάρ ἐστιν θεῖον ἡ ἀρετή. Οὕτω καὶ ὁ Παῦλος παραινεῖ·



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

"6Ἐνδύσασθε τὸν Χριστὸν Ἰησοῦν"6, καὶ "6Ἐνδύσασθε σπλάγχνα οἰκ-τιρμοῦ"6, ὅ ἐστιν· Ἐλεημονικῷ τρόπῳ καὶ τῇ κατὰ Χριστὸν πολιτείᾳ κοσμήθητε, καὶ πάλιν· "6Ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτὸς"6 πρὸς τὸ παρασκευάσαι ἑαυτοὺς προσπολεμεῖν κατὰ τῶν ἀντικειμένων. Ἐπεὶ οὖν τούτων ἐστέρητο τῶν ἐνδυμάτων διὰ τῆς παραβάσεως, ἠλέγχετό τε ἐκ τοῦ συνειδότος, οὐκ εἶχεν παρρησίαν πρὸς Θεὸν ἀτενίζειν· διὰ τοῦτό φησιν· "6Ἐφοβήθην, ὅτι γυμνός εἰμι"6· ὡς γὰρ ἄτοπα πράξας, εἰ ζητοῖτο, πρὸς ἄρχοντος δέει τῶν πεπραγμένων κρύπτεται, οὕτως καὶ ὁ Ἀδάμ, τοῦ μὴ συνειδότος ἑαυτῷ ἁμάρτημα φυλάττοντος παρρησίαν. Πρὸς ἃ μετὰ διορθώσεως πάλιν ὁ τοῦ παντὸς δεσπότης ἀνακινῶν αὐτοῦ τὴν ἔννοιάν φησιν· "6Τίς ἀνήγγειλέν σοι ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες;"6 Φιλάνθρωπος ὁ λόγος· πάλιν γὰρ ἀντέχεται τοῦ ἁμαρτήσαντος Θεός, ὑποδεικνὺς τῆς ἐντολῆς τὸν λογισμόν. Ἔδει γὰρ μετὰ πάντων καὶ τοῦ γνωστοῦ καλοῦ καὶ πονηροῦ μεταλαμβάνειν καὶ μὴ μόνου. Ἡ γάρ, ὡς προείρηται, ἐντρέχεια ἀνθρωπίνη χωρὶς τῆς ἐνεργείας τῆς ἀρετῆς ἐπιβλαβέστατον, μετὰ δὲ πάντων ὠφέλιμον· ὅπερ καὶ ὁ Θεὸς προσέταξεν ἀγαθοῦ ἰατροῦ δίκην, προπότισμα χρησιμώτατον πρὸς ὑγίειαν παρέχων, ὃ συγκραθὲν μὲν 93 λυσιτελεῖ, διαιρεθὲν δὲ βλάπτει, ὥσπερ ἐπὶ τῆς καλουμένης 93 θηριακῆς προείρηται. Τοιοῦτον ὁ Κύριος ἐν τοῖς εὐαγγελίοις παιδεύων φησίν· "6Γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις καὶ ἀκέραιοι ὡς αἱ περιστεραί."6 Ἀλλὰ πρὸς αὐτὰ ὁ Ἀδὰμ τὴν γυναῖκα αἰτιώμενός φησιν· "6Ἡ γυνή, ἣν ἔδωκας μετ' ἐμοῦ, αὕτη μοι ἔδωκεν ἀπὸ τοῦ ξύλου καὶ ἔφαγον."6 Φιλαίτιον ἡ <κα>κία, καὶ τῶν ἁμαρτανόντων ἴδιον τὸ μὴ ταχέως ὁμολογεῖν τὸ ἁμάρτημα, ἀλλὰ ἀναπλάττεσθαι αἰτίας τοῦ σφάλματος. Οἱ μὲν γὰρ τῶν ἀνθρώπων εἱμαρμένῃ διδόντες τὸν βίον ἀπ' ἐκείνης καὶ εἰς ἁμαρτίαν ἀναγκάζεσθαι οἴονται, οἱ δὲ εἰκῇ καὶ ὡς ἔτυχεν τὰ πάντα γίνεσθαι λέγοντες καὶ ταῦτα οὕτω συμβαίνειν νομίζουσιν· ὁδὲ πρωτόπλαστος τῆς ἐντολῆς παρακούσας φησίν· "6Ἡ γυνή, ἣν ἔδωκας μετ' ἐμοῦ."6 Ἔδει δ' αὐτὸν ἐννοῆσαι ὅτι πρῶτον μέν, ἀπὸ Θεοῦ ταύτην δεξάμενος, δεόντως αὐτὴν καὶ τὸ πρὸς τὸ συμφέρον ἐδέξατο, ἔπειτα οὐχ ὡς διδάσκαλον ἔλαβεν, ἀλλ' ὡς ἑπομένην. Καὶ τοῦτο ἐν τοῖς φθάσασιν παρεση- μειωσάμεθα ἐκ τῆς ἀποκρίσεως τῆς Εὔας πρὸς τὸν ὄφιν, φασκούσης πρὸς αὐτόν· "6Ἀπὸ καρποῦ ξύλου τοῦ παραδείσου φαγόμεθα, ἀπὸ δὲ καρποῦ τοῦ ξύλου ὅ ἐστιν ἐμμέσῳ τῷ παραδείσῳ εἶπεν ὁ Θεός· Οὐ φάγεσθε ἀπ' αὐτοῦ οὐδὲ μὴ ἅψησθε αὐτοῦ, ἵνα μὴ ἀποθάνητε"6, περὶ γὰρ ἁφῆς ὁ Θεὸς οὐκ ἦν ἐντειλάμενος, τοῦτο δὲ ὡς ἐκ τοῦ Ἀδὰμ μαθοῦσαν παιδεύοντος αὐτὴν εὐλαβεστέραν εἶναι, ἅτε ἀσθενῆ, ἀκοῦσαι παρ' αὐτοῦ τὸ μηδὲ ἁψῆσθαι αὐτοῦ. Πῶς οὖν ὁ διδάσκαλος καὶ ὑφηγητὴς παρὰ τῆς μανθα- νούσης εἰς ἀπάτην ἤχθη; Εἰσὶ δ' οἱ ἀπολογούμενοι ὑπὲρ τοῦ Ἀδὰμ ἐκ τοῦ εἰρημένου πρὸς αὐτοῦ· "6Ἡ γυνὴ"6 γάρ φησιν "6ἣν ἔδωκας μετ' ἐμοῦ"6· ἐπεὶ γὰρ μετ' ἐμοῦ αὐτὴν δέδωκας εἶπεν, ἐπιστάμενος ὡς διὰ τὴν παρακοὴν ἐξώβλητος ἔσται, συνηκολούθησεν οὐ κατὰ παράβασίν φασιν αὐτῇ, ἀλλὰ πρὸς ὠφέλειαν αὐτῆς· πολλάκις γὰρ τοῖς ἀσθενεστέροις οἱ διδάσκαλοι συγκατίασιν, ἵν' ἐκ τούτου ὑποστροφὴν αὐτοῖς ἐργάσωνται. Καὶ ταῦτα κρατύ- 94 νουσιν ἐκ τῶν παρὰ Παύλῳ λεγομένων, ἅπερ εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν ἀνήγ[αγεν· "6Ὁ δ' Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἐξαπατηθεῖσα ἐνπαραβάσει γέγονεν."6 Συνετοῦ δέ ἐστιν, εἰς τὴν ἐκκλησίαν τῆς γυναικὸς ἀναφερο- μένης καὶ εἰς Χριστὸν τοῦ Ἀδάμ, σῶσαι τὸν εἱρμὸν τῆς ἀλληγορίας καὶ συνεπισκέψαι μήποτε τὸ μὲν γένος τὸ ἀνθρώπων, ἐξ οὗπερ συμπληροῦται ἡ ἐκκλησία, τῇ παραβάσει χρησάμενον αἴτιον κατέστη τῆς τοῦ Σωτῆρος καθόδου, ἵνα τῇ οἰκονομίᾳ χρήσηται, δι' ἣν κατάρα καὶ ἁμαρτία γέγονεν, οὐκ ὢν ταῦτα, ἀλλὰ δι' ἡμᾶς αὐτὰ ἀναδεξάμενος. ιι, 13. Καὶ εἶπεν Κύριος ὁ Θεὸς τῇ γυναικί· Τί τοῦτο ἐποίησας; Καὶ εἶπεν ἡ γυνή· Ὁ ὄφις ἠπάτησέν με καὶ ἔφαγον.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Τρία πρόσωπα εἰσάγεται ὑπὸ μέμψιν ἐνταῦθα· ὁ ἀνήρ, ἡ γυνή, ὁ ὄφις. Καὶ ὁ μὲν ἀνὴρ ἔσχεν ἀπολογήσασθαι ὅτι ἡ γυνὴ αὐτῷ παραιτία γέγονεν τοῦ φαγεῖν τοῦ ἀπηγορευμένου ξύλου, ἐξ οὗ ἔγνω ὅτι γυμνός ἐστιν, ἡ δὲ γυνὴ αἰτιᾶται τὸν ὄφιν λέγουσα· "6Ὁ ὄφις ἠπάτησέν με καὶ ἔφα̣γο̣ν"6· καὶ γὰρ ὁ Θεὸς ἀπῄτησεν παρ' αὐτῶν τοῦ σφάλματος αἰτίαν· οὐ φέρεται δὲ τοιαύτη πρὸς τὸν ὄφιν ἐρώτησις. Οὐ γὰρ εἶχεν τὴν αἰτίαν τῆς κακίας ἐπ' ἄλλον ἀνενεγκεῖν, αὐτὸς αὐτῆς γεννήτωρ ὑπάρξας. Τοῦτο γὰρ αὐτὸ καὶ ἐν τοῖς εὐαγγελίοις ὁ Κύριος διδάσκει λέγων περὶ αὐτοῦ· "6Ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ, ὅτι ψεύστης ἐστὶν καὶ ὁ πατὴρ αὐτοῦ"6, ὅ ἐστιν ὁ πατὴρ τοῦ ψεύδους· οὐ γὰρ ὁ διάβολος πατέρα ἔχει κατὰ τοὺς μυθωδῶς οἰηθέντας. Πάντες δ' οἱ κακίᾳ χρώμενοι πλὴν αὐτοῦ οὐκ ἐκ τῶν ἰδίων, ἀλλ' ἐκ τῆς αὐτοῦ κακεντρεχείας, ἐπὶ τοῦτο ἔρχονται, αὐτοῦ ἀκούοντος πρὸς τοῦ λόγου· "6Σὺ δὲ εἶπας ἐν τῇ διανοίᾳ σου· Εἰς τὸν οὐρανὸν ἀναβή- σομαι"6 καὶ τὰ ἑξῆς. Οὐ γὰρ ἄλλος αὐτῷ τὴν ὑπερηφανίαν 95 ὑπέβαλεν, ἀλλὰ αὐτὸς ἑαυτῷ· διὸ καὶ οὐδὲ λόγος [ἀ]πο- λογίας αὐτῷ δίδοται. Τί οὖν, φησίν, τοῦτο ἐποίησας; Μὴ γὰρ εἰς τοῦτο ἐτέθης ἐπὶ τῷ αἰτία καταστῆναι τῷ ἀνδρὶ σφάλματος; Καὶ εἶπεν· "6Ὁ ὄφις ἠπάτησέν με"6. Ἀπάτῃ γὰρ τοῦτογέγονεν. Αὐτῆς γὰρ τὰ τῆς ἐντολῆς προενεγκαμένης, αὐτὸς ἀντιστρόφως ἐχρήσατο τῇ προστάξει μετὰ τοῦ καὶ ὑπισχνεῖσθαί τι αὐτοῖς κομπῶδες καὶ δελεάσαι δυνάμενον· "6Ἤδει γάρ"6 φησιν "6ὁ Θεὸς ὅτι ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ καὶ ἔσεσθε ὡς θεοί, γιγνώσκοντες καλὸν καὶ πονηρόν."6 Ὁμολογεῖ δὲ νῦν τὴν ἀπάτην εἰκότως· Θεοῦ γὰρ αἰσθομένη ἐπιγιγνώσκει τὸ γεγενημένον. Τοῦτο γὰρ ἔθος τοῖς ἀπατωμένοις μετὰ τὴν ἔκβασιν ἐπαισ̣θ̣άνεσθαι τοῦ κακοῦ· κατὰ γὰρ τὴν ἀρχήν, τῆς ἡδο̣νῆς ἐπικρυπτούσης τὴν αἴσθησιν, οὐ γίνεται ἐπίγνωσις. Τὸ δὲ "6εἶπεν"6 οὕτως πάλιν λεκτέον, ὅτι ὁμιλία ἐν διανοίᾳ τῆς γυναικὸς τοῦ Θεοῦ γέγονεν, καὶ τοῦτο οὐκ ἄδηλον· ὅτε γάρ, ἁμαρτανόντων ἡμῶν, λογισμὸς ἀνατρεπτικὸς τῆς ἁμαρτίας γίνεται, Θεὸν ἡγητέον ἐν τῇ διανοίᾳ παρεῖναι καὶ λαλεῖν. Ἐκεῖ δὲ καὶ τάξιν κατὰ τὰ πρότερον ἀλληγοροῦμεν· ἡ γὰρ ἡδονή, ἥτις ὁ ὄφις ἐστίν, πρότερον τῇ αἰσθήσει, ἣν γυναῖκα ἐλέγομεν, ἐγγίνεται, εἶθ' οὕτως τῷ νῷ αὕτη διακονεῖ, ὅστις καὶ ὁ ἀνὴρ εἴρηται. ιιι, 14. Καὶ εἶπεν Κύριος ὁ Θεὸς τῷ ὄφει· Ὅτι ἐποίησας τοῦτο, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν καὶ ἀπὸ πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς· ἐπὶ τῷ στήθει σου καὶ τῇ κοιλίᾳ πορεύσῃ καὶ γῆν φάγῃ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. Ὅπερ πρός τε τὸν Ἀδὰμ καὶ τὴν Εὔαν εἶπεν ὁ Θεός, ἑκάστῳ αὐτῶν [λ]έγων· "6Τί ἐποίησας τοῦτο;"6, ἀφ' ὧν καὶ τὸν αἴτιον τῆς κακίας [ἤ]κουσεν, τοῦ μὲν Ἀδὰμ τὴν γυναῖκα αἰτιωμένου, τῆς δὲ γυ̣ν̣α̣ικὸς τὸν 96 ὄφιν, οὐκέτι εἶπεν πρὸς τὸν ὄφιν· ἀρχέκακος γὰρ οὗτος καὶ τὴν αἰτίαν ἐπ' ἄλλον ἀνενεγκεῖν οὐκ ἔχων. Διόπερ εὐθὺς ἀντὶ τοῦ "6τί ὅτι ἐποίησας τοῦτο;"6 ἐπάγει τὴν ἐπιτιμίαν εἰπών· "6Ὅτι τοῦτο ἐποίησας, ἐπικα<τά>ρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν καὶ ἀπὸ πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς,"6 Δῆλον δὲ ὡς οὐ τῷ ἑρπετῷ τούτῳ τὴν ἐπιτιμίαν προσάγει Θεός· οὐδὲ γὰρ ἔχει φύσιν τοῦ τὸν ἀπάτης προαγαγεῖν λόγον, ἐξ οὗ τὴν καθ' ἑαυτοῦ ἐπιτιμίαν ἐκκαλέσεται τὸν Θεὸν ποιήσασθαι. Παῦλος γοῦν γράφων Κορινθίοις, ἐπιστάμενος ὡς οὐ ζῷον ἄλογον ὑπῆρχεν, περὶ οὗ ἔγραφεν, φησίν· "6Φοβοῦμαι μήπως, ὡς ὄφις ἐξηπάτησεν Εὔαν ἐν τῇ πανουργίᾳ αὐτοῦ, φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς <ἁπλότητος>"6. Παραβάλλει γὰρ ὁ Παῦλος ἀπάτην γινομένην ὑπὸ κακοήθων ἀνθρώπων καὶ πανούργων, οἵτινες ἐπιφυέντες ἦσαν, λέγοντες μὴ εἶναι ἀνάστασιν νεκρῶν μηδὲ ἐκ παρθένου τὸν Σωτῆρα γεγεννῆσθαι, οἳ καὶ ἠπάτων τοὺς ἐν Κορίνθῳ νηπίους ἐν Χριστῷ, οὐκ ἔχοντας τὰ αἰσθητήρια τῆς καρδίας γεγυμνασ- μένα πρὸς διάκρισιν καλοῦ καὶ κακοῦ, τῇ ὑπὸ τοῦ ὄφεως κατὰ τῆς Εὔας ἀπάτῃ, ὅπερ δείκνυσιν αὐτὸν οὐχ ἑρπετόν, ἀλλὰ ἀντικειμένην ἐνέργειαν, ἣν διάβολον ἔθος τῇ γραφῇ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καλεῖν. Οὐ γὰρ "3ὄφις"3 ἁπλῶς λέγεται, ὥσπερ καὶ περὶ ἐκείνων ἐλέχθη· "6Ὄφεις γεννήματα ἐχιδνῶν"6, ἀλλ' ὁ ὄφις, ὃ δηλοῖ αὐτὸν τὸν διάβολον, ὃς καίτοι ἄλλοις τῆς κακίας αἴτιος κατέστη· ἐνεργεῖ γὰρ ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας, καὶ ἐνεργεῖται τὰ ἴδια ἐμποιῶν ἐκείνοις σοφι- στικῇ ἀπάτῃ. Διόπερ καὶ τὴν ἐπιτιμίαν ὑπερβάλλουσαν δέχεται· "6Ἐπικατάρατος"6 γάρ φησιν "6σὺ ἀπὸ πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς"6. Ὡς γὰρ αἴτιος κακίας, εἰκότως καὶ τῇ ἐπιτιμίᾳ ὑπὲρ πάντας ὑπόκειται τοὺς ἀπ' αὐτοῦ τὸ ὄφ<ε>ις εἶναι ἐσχηκότας καὶ κτήνη τῷ τρόπῳ καὶ θηρία γῆς, καθ' ὧν τὴν ἐξουσίαν δίδωσιν ὁ Σωτὴρ τοῖς ἰδίοις μαθηταῖς λέγων· "6Ἰδοὺ δέδωκα μὲν ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ."6 Καὶ τῷ ἐν τῇ βοηθείᾳ τοῦ Ὑψίστου κατοικοῦν[τι] ἐπιλέγεται· "6Ἐπ' ἀσπίδα 97 καὶ βασιλίσκον ἐπιβήσῃ καὶ καταπατήσεις λέοντα καὶ δράκοντα."6 Ταῦτα δὲ πάντα ἀγριότητα κακίας ἔχοντα ὑπερβάλλων ὁ διάβολος ὄφις καλούμενος ἀκολού[θως] ὑπὲρ πάντα καταδικάζεται. Πρόσκειται δὲ τῇ ἐπιτιμίᾳ καὶ τὸ "6Ἐπὶ τῷ στήθει σου καὶ τῇ κοιλίᾳ σου πορεύσῃ"6· ἐπεὶ γὰρ δοκῶν νόησιν ἐπηρμένην ἔχειν καὶ τροφὰς ἐπιμορφα- ζόμενος ἔχειν μεγάλας ἠπάτα, τὴν πτῶσιν αὐτοῦ ὁ λόγος ἑρμηνεύει φάσκων ὡς γήϊνα αὐτῷ ἔσται τροφή, οὐδὲν θεῖον ἢ ἀνηγμένον ἔχοντι, ἀλλ' εἰλυσπωμένῳ περὶ τὰ γήϊνα, τοῦ ἡγεμονικοῦ αὐτοῦ ἐκπεσόν<τος, ὃ> τὸ στῆθος σημαίνει, οὐκέτι ἀποτίκτοντός τι θεῖον ἢ οὐράνιόν τι διὰ τὸ τὴν γεννητικὴν δύναμιν, ἥτις διὰ τῆς κοιλίας σημαίνεται, περὶ τὴν ὕλην καὶ τὰ γήϊνα ἔχειν τὴν σπουδήν. Ὅτι δ' ἡ κοιλία οὕτως νοεῖται, ἐκτοῦ ἐναντίου ἔστι μαθεῖν, ψάλλοντος τοῦ μακαρίου Δαυίδ· "6Καὶ τὸν νόμον σου ἐμμέσῳ τῆς κοιλίας μου"6, ὅπερ οὐ τὸ αἰσθητὸν μέλος ἀλλὰ δύναμιν ψυχῆς σημαίνει. Ἀμέλει γοῦν οἱ ἐν μετανοίᾳ γεγενημένοι ἄνθρωποι γνόντες ὅτι ἡ νόησις αὐτῶν ὀφείλουσα οὐρανίων μεταλαμβάνειν τροφῶν εἰς γῆν κατεβλήθη φασίν· "6Ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν"6, κάτα πάντα γήϊνα γεγενημένη τῷ καὶ γήϊνα τρέφεσθαι καὶ γήϊνα ἀπο- κυίσκειν. Ὡς γὰρ δοχεῖόν ἐστιν ἡ κοιλία τροφῶν, οὕτω καὶ ἐργαστήριον τῶν πλαττομένων. Οἱ μὲν οὖν φαῦλα γεννῶντες ἐπὶ γῆς ἕρποντες πορεύονται, οἱ δὲ θεῖα ἀποτίκ- τοντές φασιν· "6Ἀπὸ τοῦ φόβου σου ἐν γαστρὶ ἐλάβομεν καὶ ὠδινήσαμεν καὶ ἐτέκομεν"6· τὸ δ' αὐτὸ γέννημα διανοίας καὶ τροφεῖόν ἐστιν. Εὖ δὲ καὶ τὸ προσκεῖσθαι· "6Καὶ γῆν φάγῃ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου"6· οὐ γὰρ ἁπλῶς "3ζωῆς"3 εἶπεν, ἀλλὰ τῆς σῆς, ἣν εἵλω ἐκ τῆς σεαυτοῦ ῥοπῆς, ὡς εἰ λέγοι τις καὶ τῷ μὴ καθηκόντως ζῶντι· Πάσας τὰς ἡμέρας ἧς εἵλω ἔχειν ζωῆς φαῦλος ἔσει, ἁμαρτίαι σοι τροφὴ ἐν πάσαις αἷς προέκρινας ἡμέραις σου φαύλαις. Ἕκαστα 98 γὰρ πρὸς τὸν ἴδιον τρόπον, ἀποστὰς τῆς δεούσης ζωῆς, ἑαυτῷ ζωὴν περιποιεῖται. Τούτῳ ὅμοιον καὶ τὸ πρὸς τὸν πλούσιον εἰρημένον· "6Ἀπέλαβες τὰ ἀγαθά σου [ἐν] τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά."6 Καὶ παρατήρει ὅτι τοῦ μὲν φαύλου τὰ ἀδιάφορα ἀγαθὰ εἶπεν· ἐπεὶ αὐτὸς ὡς ἀγαθὰ αὐτὰ ἐλογίζετο καὶ ἐν αὐτοῖς ἤλπισεν, διὰ τοῦτο καὶ "6τὰ ἀγαθά σου"6 εἶπεν· ἐπὶ δὲ τοῦ Λαζάρου οὐκ ἐρρέθη τὰ κακὰ ἑαυτοῦ· οὐ γὰρ ἀπὸ τῆς ἰδίας προθέσεως ἔπασχεν, εἰ καὶ γενναίως ἔφερεν. Καὶ ὁ Ἰὼβ δὲ στερηθεὶς τῶν ἡδέων, ἐπεὶ οὐχ ἑαυτοῦ ἀγαθὰ αὐτὰ ἐλογίζετο, ἀλλ' ἐπιστάμενος αὐτῶν τὴν φύσιν, ὡς ἐδόθησαν παρὰ Θεοῦ, αὐτοῖς ἐκέχρητο, οὐκ εἶπεν· "3Εἰ τὰ ἀγαθά μου ἐδεξάμεθα"3, ἀλλ' "6Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου"6. Ἃ γὰρ αὐτὸς ᾑρεῖτο ἀγαθά, αἱ ἀρεταὶ ἐτύγχανον, τοῖς δ' ἀκολουθοῦσιν, κρίσει Θεοῦ ἀδιαφόροις, ὡς ἔπρεπεν ἐκέχρητο, ἐπαρκῶν δεομένοις· οὕτω γοῦν καὶ ἔφη· "6Ἡ θύρα δέ μου παντὶ ἐλθόντι ἠνέῳκτο"6. ιι, 15. Καὶ ἔχθραν θήσω ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέσον τῆς γυναικός, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου καὶ ἀνὰ μέσον τοῦ σπέρματος αὐτῆς· αὐτός σου τηρήσει κεφαλήν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν. Ὅτε ὁ ἁπλούστερος σύνεστιν πονηρῷ, οὐ μικρὰν ἔχει τὴν βλάβην· ὁ πονηρὸς γὰρ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προσέρχεται καὶ τὰ βλάβης ὑποβάλλει, καὶ δέχεται ἡ ἁπλουστέρα ψυχὴ εἰς ὠφέλιμα. Δεῖ οὖν διαίρεσιν γενέσθαι τούτων καὶ εἰς ἔχθραν καὶ τὸ ἀκοινώνητον ἐλθεῖν, ὡς τὸν ἁπλούστερον γενόμενον κατὰ τὸ σωτήριον παράγγελμα φρόνιμον εἰπεῖν περὶ διαβόλου· "6Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν."6 Πολλάκις γοῦν καὶ γυναικὸς φιλίαν πρὸς ἄνδρα σὺν ἁπλότητι γινομένην ὁρῶντες, ἐξ ἧς ἀπάτης ἕπεται αἰσχροποιεῖν τοὺς τοιούτους, σπουδάζομεν οὐ μίσει εἰρήνης, ἥτις ἐστὶ καρπὸς τοῦ Πνεύματος, ἀλλὰ ἀποστροφῇ εἰρήνης, καθ' ἧς ὁ Σωτὴρ ἥκει μάχαιραν ἐπενεγκεῖν λέγων· "6Οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν"6 διαιροῦσαν καὶ διατέμνουσαν τοὺς ὠφελεῖσθαι ποθοῦντας ἀπὸ τῶν βλάπτειν ἐπιχειρούντων. Ἀγαθὸς οὖν ὑπάρχων ὁ Θεὸς φυτεύει ἔχθραν οἷς ἡ εἰρήνη καὶ ἡ συναφὴ πολέμιον. Ὅταν γάρ τις ἀγνοίᾳ τοῦ κακοῦ αὐτῷ περιπίπτων μανθάνῃ ὅτι ὀλέθριόν ἐστι καὶ ἐπιζήμιον, ὠφελίαν οὐ μικρὰν καρποῦται. Ἀκολούθως 99 δὲ καὶ τὸ σπέρμα τῷ σπέρματιἐχθρὸν ποιεῖ καὶ αὐτὸν αὐτῇ. Καὶ ἐπεὶ μὴ περὶ αἰσθητοῦ ὄφεώς ἐστι τὸ λεγόμενον, οὐδὲ τὸ σπέρμα αὐτοῦ αἰσθητὸν ἐκδεκτέον, ἀλλὰ τοὺς κατ' αὐτὸν τυπωθέντας καὶ μορφωθέντας καὶ γεννηθέντας ἢ λογισ[μο]ὺς διαστρέφοντας ἀπὸ τῆς ἀληθείας καὶ μαθήματα αὐτῆς ἀλλότρ[ια], σπέρμα δὲ τῆς γυναικὸς ὁμοίως τοὺς ἀπ' αὐτῆς ἐναρέτους–τῆς γὰρ ἐκκλησίας ἐπέχει τύπον–, ἢ τὰ τῆς θείας παιδεύσεως μαθήματα, πρὸς ἃ ἡ τοῦ ἀντικειμένου κακουργία τὰς ἐπιχειρήσεις ποιεῖται. Σπέρματος δὲ καὶ τέκνου διαφορὰ καὶ ἐν τοῖς εὐαγγελίοις εἴρηται, τῶν μὲν Ἰουδαίων λεγόντων· "6Σπέρμα Ἀβραάμ ἐσμεν"6, τοῦ δὲ Σωτῆρος τοῦτο μὲν αὐτοῖς συγχωροῦντος, ἀπαγορεύοντος δὲ αὐτοὺς τέκνα τυγχ[ά]νειν τοῦ Ἀβραὰμ ἐν τῷ λέγειν· "6Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ποιεῖτε."6 Ὁ μὲνγὰρ τέκνον ὑπάρχων καὶ σπέρμα ἐστίν, οὐ πάντως τοῦ σπέρματος καὶ τέκνου γινομένου τῷ ἀπαμβλίσκεσθαι καὶ μὴ τ[ε]λεσιουργεῖσθαι. Εἴη δὲ τοῦτο καὶ κατὰ τὸν τῆς ἀναγωγῆς λόγον ἑπόμενο[ν]. Πολλοὶ γὰρ ἀρξάμενοι κατὰ τὸν Ὑμέναιον καὶ Ἀλέξανδρον περὶ τὴν πίστιν ναυαγήσαντες τέκνα οὐκ ἀπετελέσθησαν. Πᾶν δὲ τεταγμένως καὶ τὰ τῆς φράσεως ἔχει. Οὐ γὰρ ὁ ὄφις πρὸς τὸ σπέρμα, ἀλλὰ πρὸς αὐτήν, οὐδὲ τὸ σπέρμα τοῦ ὄφεως πρὸς αὐτήν, ἀλλὰ τὸ σπέρμα αὐτῆς. Τὰ γὰρ ἄκρως κακὰ πρὸς τὰ ὑπερβάλλοντα ἀγαθὰ ἔχει τὴν μάχην, καὶ τὰ ἐλάττω πρὸς τὰ ἰσόρροπα. Ὁ Θεὸς γὰρ δίδωσιν καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν μὴ ἐῶν ἄμετρον γίνεσθαι κατά τινος πειρασμόν· "6Εἰ μὴ Κύριος ἦν ἐν ἡμῖν, ἄρα κατέπιον ἡμᾶς."6 Ὡς ἀγαθὸς δὲ ὁ τοῦ παντὸς Κύριος καὶ τὰς ἐπιβουλὰς τοῦ ἀντικειμένου καταμηνύει καὶ τὰς κατ' αὐτοῦ ἐπιθέσεις ἐκδιδάσκει, τοῦ μὲν διαβόλου ἐπιτηροῦντος τὰς τοῦ ἀνθρώπου προκοπὰς καὶ διαβάσεις ἐπὶ τὴν ἀρετήν, αἵτινες διὰ τῆς πτέρνας δηλοῦνται, τοῦ δὲ ἀνθρώπου τὸ κεφάλαιον τῆς κακίας ἐπιτηροῦντος· τούτου γὰρ ἀναιρουμένου, συναναιρεῖται καὶ τὸ πᾶν. Πρόσ<σ>χες δὲ πῶς ἀπὸ γένους ἐπὶ γένος ἕτερον μετέστη ὁ λόγος· ὡς γὰρ πρὸς τὴν γυναῖκα πάντα ἐκεῖνα ἐλέγετο· "6Ἔχθραν θήσω ἀνὰ μέσον σου καὶ τῆς γυναικὸς"6 καὶ τὰ ἑξῆς, νῦν δέ φησιν· "6Αὐτὸς τηρήσει κεφαλὴν καὶ σὺ αὐτοῦ 100 πτέρναν."6 Ἔδει γὰρ περὶ μὲν τῆς ἀσθενεστέρας λέγεσθαι 100 τὸ ἔχθραν θήσω, ἵνα τὸ ἀμιγὲς μηδὲ ἀπάτης χώρα γένηται, περὶ δὲ τοῦ ἀνδρός, ἅτε οὐκ ἐξαπατηθέντος κατὰ τὴν ἀποστολικὴν φωνήν, λέγεσθαι· "6Αὐτός σου τηρήσει κεφαλήν."6 Ἰσχυ[ρὸ]ς γὰρ ὢν καὶ πολεμεῖν ἐστιν ἐπιτη- δειότερος καὶ φυλάττειν τὰς τοῦ ἀντικειμένου ἐπιβολάς, μὴ συγχωρῶν αὐτῷ ἀπάτης ἀρχὴν προσαγαγεῖν ὡς τῇ Εὔᾳ, ᾗ, καθὼς προειρήκαμεν, συνηκολούθησεν, ἐπεὶ καὶ αὐτὸς εἶπεν· "6Ἡ γυνὴ ἣν ἔδωκας μετ' ἐμοῦ"6, ἣν καὶ οὐκ ἀφῆκεν διὰ τὸ αὐτῆς χρήσιμον. Συνεκβέβληται γὰρ οὐ δι' ἑαυτόν, καθὰ καὶ τοῖς ἐν Βαβυλῶνι αἰχμαλωτιζομένοις ἠκολούθουν οἱ ἅγιοι οὐδὲν ἄξιον αἰχμαλωσίας δεδρακότες, ἀλλ' ὅπως ἰατροὶ τῶν αἰχμαλωτισθέντων γένωνται, ὡς Δανιὴλ καὶ Ἰεζεχιὴλ καὶ οἱ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐν τῇ καμίνῳ τρεῖς παῖδες. Τὸ λεγόμενον οὖν πρὸς τὸν ὄφιν "6αὐτός σου τηρήσει κεφαλὴν"6 ἐμφάνοι ἂν ὅτι, εἰ καὶ ὡς ἀσθενεστέραν ἠπάτησας τὴν γυναῖκα, ἀλλ' ὁ ἀνήρ σοι προσπολεμήσει τὸ κεφάλαιον τῆς σῆς κακίας ἐπιτηρῶν, ὅ ἐστιν ἡ ἀσέβεια, ὅπερ ὁ σοφὸς ἐκβάλλει, τοῦ διαβόλου μὴ ἐφικνουμένου τῆς κεφαλῆς τοῦ σοφοῦ, ἀλλ' εἰ ἄρα τῆς πτέρνης, ἥτις εἴη ἂν τὰ ἐσχατιὰ τῶν εἰς ἀρετὴν συντελούντων. Πολλάκις γὰρ μὴ δυνάμενός τι τῶν προηγουμένων πολεμεῖν, περὶ τὰς χρείας τὰς ἀνθρωπίνας ἐνεδρεύει, ἵνα διὰ τούτων ὑποσκελίσῃ. Τοῦτ' αὐτὸ καὶ ἐν ψαλμοῖς λέγεται· "6Αὐτοὶ τὴν πτέρναν μου φυλάξουσιν"6· τοῦτο δὲ τὸ φυλάξαι τῷ τηρῆσαι ἐν τῷ νῦν προκειμένῳ ταὐτὸ σημαίνει· τὸ ἐπιτηρῆσαι γὰρ δηλοῖ, οὐκ ἀγνοούντων ἡμῶν ὅτι καὶ ἐπὶ τὸ διατηρῆσαι κεῖνται αἱ λέξεις καὶ σκεπάσαι ὡς ἐν τῷ "6Σύ, Κύριε, φυλάξεις ἡμᾶς καὶ διατηρήσεις ἡμᾶς"6, καὶ ἐν τῷ "6Πάτερ ἅγιε, τήρησον αὐτούς"6. ιιι, 16–19. Καὶ τῇ γυναικὶ εἶπεν· Πληθύνων πληθυνῶ 101 τὰς λύπας σου καὶ τὸν στεναγμόν σου· ἐν λύπαις τέξῃ τέκνα, καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. Τῷ δὲ Ἀδὰμ εἶπεν· Ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· ἐν λύπαις φαγῇ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. Ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι, καὶ φαγῇ τὸν χόρτον τοῦ ἀγροῦ. Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου, ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν <γῆν> ἐξ ἧς ἐλήμφθη<ς>, ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ. Οὐκ ἀπίθανόν ἐστιν καὶ τὰς ἱστορίας ἐκλαβεῖν ἐπὶ τῶν λέξεων τούτων. Καὶ γὰρ φαίνεται ὡς ἡ μὲν γυνὴ πυκναῖς καὶ συνεχέσιν λύπαισπιέζεται καὶ στεναγμοῖς, οὐ μικρὸν ὑπομένουσα κάματον ἔν τε ταῖς συλλήψεσιν καὶ ἀποτέξεσιν ἔτι τε καὶ ἀνατροφαῖς, καθὸ καὶ ἡ τοῦ μακαρίου Ἰώβ φησιν ὅτι "6Ἠφανισταί σου τὸ μνημόσυνον ἀπὸ τῆς γῆς, υἱοὶ καὶ θυγατέρες, ἐμῆς κοιλίας ὠδῖνες καὶ πόνοι, οὓς εἰς τὸ κενὸν ἐκοπίασα μετὰ μόχθων"6, καὶ ὡς ἅπαντα πρὸς τὸν ἄνδρα ἤνεγκεν ἰσχυρότερον δεσπότου, τὰς ἀπ' αὐτοῦ ἀπεκδεχομένη ἐπικελεύσεις, ὁ δὲ ἀνὴρ ἔργοις καὶ φροντίσιν κατατρυχόμενος πόνοις καὶ ἱδρῶσιν διὰ παντὸς διατελῶν τοῦ βίου. Καὶ γὰρ τῶν λυπούντων τὴν γυναῖκα οὐκ ἔστιν ἀμέτοχος, καὶ αὐτὸς ἰδιαζόντως πόνοις συνέχεται διὰ παντὸς τοῦ ζῆν, ἄλλα ἐπ' ἄλλοις πονῶν τε καὶ κάμνων σώματι καὶ ψυχῇ· καὶ γὰρ τὰ κατ' οἶκον αὐτῷ οὐκ ἀφρόν- τιστα, παίδων ἀνατροφή, καὶ τούτων πολλάκις ὀδύναι διάφοροι ἢ νόσοις πιεσθέντων ἢ θανάτῳ προλαμβανόντων, ἐξ ὧν ἁπάντων ἀνία ὑπερβάλλουσα καὶ πόνος ἱκανώτατος, καὶ πολλὰ ἂν εἴη λέγειν, ἃ πᾶσίν ἐστι προδηλότατα. Ἴδωμεν δὲ καὶ τὸ καθ' ἕκαστον τῶν εἰρημένων. Τῷ μὲν οὖν ὄφει εἴρηται· "6Ἐπικατάρατος σύ"6, τῷ δὲ Ἀδὰμ οὐχ οὕτως, ἀλλ' "6Ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου"6, καὶ εἰκότως· οὐ γὰρ ἡττηθεὶς τῇ ἁμαρτίᾳ παρέβη, ἀλλ' ἀκολουθήσας τῇ γυναικὶ κατὰ τὰ προαπο- 102 δοθέντα ἡμῖν εἰς τὸ "6Ἡ γυνὴ ἣν ἔδωκας μετ' ἐμοῦ"6, ὅτε παρετιθέμεθα τὸ ἀποστολικὸν λέγον· "6Ἀδὰμ γὰρ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἐξαπατηθεῖσα ἐν παραβάσει γέγονεν."6 Ἀλλὰ καὶ τῇ γυναικὶ εἰς πρόσωπον αἱ ἀπειλαὶ δίδονται· "6Πληθύνων πληθυνῶ τὰς λύπας σου"6. Ἐπιφέρων δὲ καὶ τὸ "6Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ"6, τῆς σωματικῆς οὐσίας τὸ ἴδιον ἐπιδείκνυσιν· οὐ γὰρ ἡ ψυχὴ ἀπὸ γῆς ἔχει τὴν ἀρχήν, ἵνα καὶ εἰς ταύτην ἀναλυθῇ κατὰ τοὺς φθαρτὴν αὐτὴν εἰσηγουμένους. Ἐπειδὴ δὲ ἐν τοῖς ἔμπροσθεν ὁ παράδεισος ἡμῖν ἐν ἀλληγορίᾳ ἐλαμβάνετο χωρίον εἶναι θεῖον ἐνδιαίτημα μακα- ρίων δυνάμεων, καταλλήλως καὶ τὰ περὶ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς ἐκληπτέον. Ἔχομεν τοίνυν ἐκ τοῦ μακαρίου Παύλου ἀρχὰς ἐπὶ τὴν ἀναγωγὴν ἀγούσας λέγοντος τὸ "6Μυστήριον τοῦτο μέγα ἐστίν, ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν."6 Ἡ ἐκκλησία τοίνυν τέκνα ἐν λύπαις τίκ- τει, πόνος γὰρ τῆς ἀρετῆς προηγεῖται καὶ λύπη, μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργαζομένη· τίκτει δὲ αὐτὰ διὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λουτροῦ παλιγγενεσίας. Ἕπεται γὰρ τῇ μὲν ἀρετῇ πόνος, τῇ δὲ ἡδονῇ ῥᾳστώνη. Τοῦτο ὁ Σωτὴρ παιδεύει λέγων· "6Τί στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν"6, "6πλατεῖα"6 δὲ "6καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι εἰς αὐτήν."6 Καὶ ὁ στεναγμὸς δὲ ἔπαινον ἔχει δι' ἀρετὴν γινόμενος· "6τῶν καταστενα- ζόντων ***"6. Ἀλλὰ καὶ πρὸς τὸν ἄνδρα Χριστὸν τὴν ἀποστροφὴν ἔχει, παρ' αὐτοῦ κυριευομένη, ἵνα κατὰ τὰς ἐκείνου ὑποθημοσύνας τὰ παρ' αὐτῆς ἀποτικτόμενα τῆς 103 ἀρετῆς γεννήματα ἀπ' αὐτοῦ ἔχῃ τὴν τελεσιουργίαν· "6Ἡρμοσά[μ]ην γὰρ ὑμᾶς"6 φησιν ὁ Παῦλος "6ἑνὶ ἀνδρὶ <παρθένον ἁγνὴν> παραστῆσαι τῷ Χριστῷ."6 Μακαρία γάρ ἐστιν ἡ ἐκκλησία, ὅτε ὑπὸ Χριστοῦ π[ε]ριέχεται, καὶ ἑκάστη δὲ γυνὴ ὑπὸ τελείου καὶ σπουδαίου καὶ σῴζοντος τὸ καθῆκον τοῦ ἄρχειν μακαρία. Μὴ γάρ τις τὰς διεστραμ- μένας συμβιώσεις παραλαμβάνων ψευδοποιεῖν πειράσθω τὸ ῥητόν· οὐδὲ γὰρ περὶ τῶν τοιούτων τῷ λόγῳ τῷ θείῳ πεφρόντισται, καὶ τοῦτο διδάσκων ὁ Παῦλος παραινεῖ λέγων· "6*** ὥσπερ καὶ ὁ Χριστὸς τὴν ἐκκλησίαν"6, ὅπερ ἐστὶν ἀπαθῶς. Τὰ δὲ περὶ τῆς ἐντολῆς περιεχούσης ὡς οὐ δεῖ μόνου τοῦ ἀπηγορευμένου φαγεῖν ἐν τοῖς πρὸ τούτων αὐτάρκως σαφηνισθέντα νῦν παρεατέον, τοῦτο μόνον καὶ νῦν ἐπιση- μειώμενος, ὡς ὅτι τῆς φωνῆς ἀκούσας τῆς γυναικὸς ὁ Ἀδὰμ οὐ προηγουμένως ἥμαρτεν, ἀλλ' ἠκολούθησεν αὐτῇ, δι' ἣν καὶ τὰ εἰρημένα ὑφίσταται· "6Ἐπικατάρατος"6 γάρ φησιν "6ἡ γῆ ἐν τοῖς ἔργοις σοῦ."6 *** "6Ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι"6. Τί γὰρ ἐκ τῆς τοῦ σώματος ἀκολουθίας οὐκ ἐπώδυνόν ἐστιν, ἡδονῶν τε καὶ μεριμνῶν ἐξ αὐτοῦ ἐπιφυομένων; Ταύτας γὰρ εἶναι τὰς ἀκάνθας ὁ Σωτὴρ ἡρμήνευσεν, αἵτινες συμπνίγουσι τὸν ὑπὸ Ἰησοῦ βαλλόμενον σπόρον, ἐὰν ὁ δεξάμενος μὴ εἰς βάθος τοῦτον ὑποδέξηται, ἀλλὰ καὶ τὸ λεγόμενον ὡς Γῆ ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς ἐρχόμενον πολλάκις ὑετὸν καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις δι' οὓς καὶ γεωργεῖ- ται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ· ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος καὶ κατάρας ἐγγύς, 104 ἧς τὸ τέλος εἰς καῦσιν."6 Ἐὰν οὖν τις διὰ μελέτης ταύτας μὲν ἀναβλαστῆσαι μὴ συγχωρήσῃ, σχήσει χόρτον, ὅ ἐστι τρόφιμόν τι· πρῶτον γὰρ χορτῶδες ἔσται τὸ φυόμενον, ὡς καὶ ὁ Σωτήρ φησιν· "6*** εἶτεν στάχυν"6. Τοῦτον οὖν τὸν πνευματικὸν οὐκ ἀμελετήτως οὐδ' ἄτερ πόνου εὑρήσει ὁ σπουδαῖος. Καὶ γὰρ ἐπιμελῶς τῆς καρδίας τῶν ἀνθρώπων ἐπὶ τὰ κακὰ ἐκκειμένης, δυσθήρατος ἡ ἀρετὴ καὶ κόπῳ λαμβανομένη· "6Διὰ"6 γὰρ "6πολλῶν θλίψεών"6 φησιν "6δεῖ ὑμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν."6 Ἀγαθοῦ δ' εἰσαγωγικὸν χόρτον τέως ἐμφαγεῖν τὰ πρῶτα τῆς ἀρετῆς, εἶτεν στάχυν, ὅτε μεγάλα εἰσαγωγικὰ μαθήματα τελειότητός τις ἐπιλαμβάνεται ὡς ἀκοῦσαι· "6Τελείων δέ ἐστιν ἡ στερεὰ τροφή, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ."6 Ἐπίμοχθον οὖν ἡ ἀρετή, ὅπου καὶ ἡ καρδία τῶν ἀνθρώ- πων ἐπιμελῶς ἐπὶ τὸ κακὸν ἔγκειται· διὰ τοῦτο "6πάσας"6 φησὶν "6τὰς ἡμέρας τῆς ζωῆς σου ἐν ἱδρῶτι φαγῇ τὸν ἄρτον σου"6, ὅπερ οὐκ ἂν λεχθείη ἀγγέλοις· εὐκολώτερον γὰρ παρ' ἐκείνοις τὰ τῆς ἀρετῆς ἐνεργεῖται. Οἰκείως δὲ τῇ ἀλληγορίᾳ ἐκληπτέον καὶ τὸ "6ἕως ἂν ἀποστρέψῃς εἰς τὴν γῆν ἐξ ἧς ἐλήμφθης"6. Ἀναστὰς γὰρ ἐν πνευματικῷ σώματι οὐράνιον ἕξεις πολιτείαν ἐ[ν] τῇ γῇ τῶν πραῶν γινόμενος· "6Μακάριοι"6 γὰρ "6οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν"6, εἰ καὶ ἀντὶ ταύτης τὴν χέρσον διὰ τὰ ἴδια πταίσματα ἄνθρωπος ἀντικατηλ- λάξατο. Παρ' ἑα<υ>τοὺς γὰρ ἢ γῆ ἐσμεν ἢ οὐρανὸς γινόμεθα τοῦτο ὁ σοφὸς Παῦλος παιδεύει λέγων· "6Καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου"6, ὅπερ ἐν τῇ εὐχῇ λέγειν προστάτ- τονται οἱ μαθηταί· "6Γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς."6 Πότε δὲ τοῦτο ἔσται, ἢ ὅταν ἄνθρωποι ἐπὶ γῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

περιπατοῦντες ἐν οὐρανῷ ἔχωσιν τὸ πολίτευμα. Σημειωτέον δὲ τοῦτο, ὅτι οὐκ, ἐάν τι ἀλληγορῆται, πάντως ὅλον ἐξομαλίζειν ἀνάγκη· εἴλημπται γὰρ διὰ τί τὸ ῥητὸν οἰκεῖον πρὸς ἀλληγορίαν, τούτου δὲ νοουμένου, 105 οὐκ ἀνάγκη καὶ τὰ πάντα δέχεσθαι πρὸς ἀναγωγήν, οἷον ὡς ἐπὶ τοῦ "6οὐ φιμώσεις βοῦν ἀλοῶντα"6, ὅπερ διὰ τὸ προσήκειν ἐπιγιγνώσκειν τὸν διδάσκαλον καὶ τοὺς πόνους οὓς πονεῖ ὑπὲρ τῶν παιδευομένων εἴρηται· οὐκ ἀνάγκη δὲ λέγειν εἰ δίκερως ὁ βοῦς καὶ ταῦτα εἰς τί ἀνάγεται· οὐ γὰρ διὰ τοῦτο παρείλημπται. Ταῦτα δὲ εἴρηται ἵνα μή τις, εἰς Χριστὸν ἀναγομένου τοῦ Ἀδάμ, πάντα ἀπαιτήσῃ περὶ Χριστοῦ τὰ περὶ τοῦ Ἀδὰμ ὅλα τὰ οἰκεῖα. Καὶ γὰρ αὐτὸς κατάρα ὑπὲρ τῆς ἀνθρωπότητος γέγονεν, σύμβολον ἐχούσης τῆς ἐκκλησίας, ἥτις ἦν ἡ γυνή, ἵνα διὰ τοῦ κόπου αὐτοῦ καὶ τῆς κενώσεως ζωὴ γένηται τοῖς ἀποσφα- λεῖσιν· "6Τὸν"6 γὰρ "6μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη Θεοῦ ἐν αὐτῷ."6 Ἁμαρτία δὲ οὐ καθάπαξ ἐστίν, ἢ γὰρ ἂν οὐκ ἦν ποιητικὴ δικαιοσύνης. Καὶ γὰρ κατάραδὲ γέγονεν, ἵν' ἡμεῖς εὐλογίαν σχῶμεν· καὶ ὥσπερ οὐχ ὁ Ἀδὰμ ἠπατήθη, ἀλλὰ τῆς γυναικὸς ἐξαπατηθείσης ἠκολού- θησεν, οὕτω, τῆς ἀνθρωπότητος σφαλείσης, "6ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβών"6. Εἰ γὰρ μὴ παραβὰν ἐτύγχανε τὸ γένος, οὐδὲ τοῦ θεραπεύσοντος ἔχρηζον, τραύματος μὴ γεγενημένου, ὃ τὴν ἐν ἀνθρώποις ἐπιδημίαν ἐξεκάλειτο. ιιι, 20. Καὶ ἐκάλεσεν Ἀδ[ὰ]μ τὸ ὄνομα τῆς γυναικὸς αὐτοῦ Ζωή, ὅτι αὕτη μήτηρ πάντων τῶν ζώντων. Συνέσει κινούμενος προμηθεστάτῃ ὁ Ἀδάμ, ἐπιστάμενος ὅτι ἔξω τοῦ παραδείσου διὰ τὴν παράβασιν ἔσονται, προαναφωνεῖ τὸ μέλλον Ζωὴν καλῶν τὴν γυναῖκα, "6ὅτι αὕτη μήτηρ πάντων"6 ἔσται "6τῶν ζώντων"6. Ἐξ αὐτῆς γὰρ ἅπασα ἡ διαδοχὴ γέγονεν, οὐ δεῖ δὲ προσυπακούειν ὅτι καὶ τῶν ἀλόγων. Οὐ γάρ, ἐὰν καθόλου τι λέγηται, προσπαραλαμβάνειν καὶ τὰ μὴ πεφυκότα προσήκ[ε]ι. Οὐ γάρ, ἐὰν φάσκῃ τὸ λόγιον· "6Ἐκχέω ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα"6, καὶ τὴν τῶν ἀλόγων προσλαβεῖν ἀκόλουθον· οὐδ' ἂν λέγῃ πάλιν· "6Καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν"6, προσυπακούειν τοῦτο καὶ περὶ τῆς σαρκὸς τῶν ἀλόγων ἁρμόζει. Οὕτω καὶ νῦν πάντων τῶν ζώντων μήτηρ ἡ Εὔα, τῶν πεφυκότων δηλονότι μητέρα αὐτὴν ἔχειν ἀνθρώπων. 106 Εἰ δὲ καὶ ἐπὶ τὴν ἐκκλησίαν αὕτη ἀνάγοιτο, τίς ἂν ἄλλη εἴη μήτηρ τῶν ζώντων κατὰ τὴν ζωὴν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν λέγοντα· "6Ἐγώ εἰμι ἡ Ζωή"6, ἢ ἡ ἐκκλησία, ἥτις ἀπ' αὐτοῦ ὡς ἀπὸ πηγῆς τὴν ζωὴν ἔχει, ἐξ ἧς καὶ οἱ ἀπογεγραμμένοι ἐν αὐτῇ, πρωτοτόκων ἐκκλη- σίᾳ τυγχανούσῃ, ζωῆς θείας μετέχουσιν. Δῆλον δὲ ὅτι, εἰ αὕτη μήτηρ, καὶ ὁ Χριστὸς πατὴρ τῶν πιστευόντων ὑπάρχει, "6ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται"6. ιιι, 21. Καὶ ἐποίησεν Κύριος ὁ Θεὸς τῷ Ἀδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ κιτῶνας δερματίνους καὶ ἐνέδυσεν αὐτούς. Καταλλήλως τῇ μελλούσῃ πάντων ἔσεσθαι μητρὶ μετὰ τοῦ ἀνδρὸς εἰς τοῦτο συμβαλλομένου οἱ δερμάτινοι κιτῶνες γίνονται, οὓς οὐκ ἂν ἑτέρους τις τῶν σωμάτων εἴποι. Εἰ γὰρ καὶ οἱ φιλίστορες ἐκ δερμάτων κιτῶνας τὸν Θεὸν πεποιηκέναι οἰήσονται, τί πρόσκειται καὶ τὸ "6ἐνέδυσεν αὐτούς"6, δι' ἑαυτῶν τοῦτο ποιῆσαι δυναμένων; Οὐ γὰρ ἀνεννόητοι ἐτύγχανον σκεπασμάτων, οἵ γε ῥάψαν- τε[ς] ἑαυτοῖς ἐκ φύλλων περιζώματα. Ὅτι δὲ πολλαχοῦ τῶν θ[εί]ων παιδευμάτων τὸ σῶμα δέρμα καλεῖται, ἔστιν εὑρεῖν. Ἰὼ[β] γὰρ ὁ μακάριός φησιν· "6Οἶδα γὰρ ὅτι ἀέναός ἐστιν ὁ ἐκλύ̣ειν με μέ̣λλων· ἐπὶ γῆς ἀναστῆσαι τὸ δέρμα μου τὸ ἀναντλοῦν ταῦτα"6, παντὶ δέ τῳ σαφὲς ὡς ταῦτα περὶ τοῦ σώματος ἑαυτοῦ ὁ Ἰὼβ ἔφασκεν· Καὶ πάλιν ὁ αὐτὸς περὶ ἑαυτοῦ τοιαῦτά φησιν· "6Δέρμα καὶ κρέας με ἐνέδυσας, ὀστέοις δὲ καὶ νεύροις με ἐνείρας."6 Σαφὲς γὰρ καὶ ἀριδηλότατον δεῖγμα τοῦ τοὺς δερματίνους κιτῶνας εἶναι τὸ σῶμα, ὅτι καὶ τοῦ ἐνέδυσας μνημονεύει ὁ Ἰώβ, ὅπερ καὶ ἐπὶ τῶν πρωτοπλάστων εἴρηται. Εὖ δὲ καὶ τὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῆς παρατηρήσεως ἔχει· δυναμένου γὰρ λεχθῆναι ὡς "3ἐποίησεν ὁ Θεὸς ἀμφοτέροις κιτῶνας δερματίνους"3, οὐχ οὕτω δ' εἴρηται, ἀλλὰ "6ἐποίησεν ὁ Θεὸς τῷ Ἀδὰμ καὶ τῇ γυναικ[ὶ] αὐτοῦ κιτῶνας"6. 107 Δῆλον γὰρ ὅτι διάφοροι χαρακτῆρες ἄρρενος καὶ θήλεος καὶ ἰδιοσυγκρισίαι ἑτέραι καὶ ἕτερα πλεῖστα, καθὰ ὁ μὲν ἀνδρὸς χώραν, ἡ δὲ γυναικὸς ἐπέχουσα τῆς διαδοχῆς εἰσιν ἀρχή. Πρότερον μὲν οὖν κατ' εἰκόνα ὁ ἄνθρωπος γεγενῆσθαι εἴρηται, ὅπερ δηλοῖ τὸ ἄϋλον· ἐπειδὴ δὲ καὶ ἐν ἑτέρᾳ καταστάσει γεγένηται ὡς δεῖσθαί τινος ᾧ χρήσεται, ἐδέησεν αὐτῷ ὀργανικοῦ σώματος, νῦν δὲ καὶ δερμάτινοι γίνονται. Τούτων παραστατικόν ἐστιν τὸ λεγόμενον· "6Φθαρτὸν γὰρ σῶμα βαρύνει ψυχήν"6, τοῦ φθαρτοῦ σώματος δηλοῦντος τὸ παχὺ τοῦτο, εἶθ' ἑξῆς "6[κ]αὶ βρίθει τὸ γεῶδες σκῆνος νοῦν πολυφροντίδα"6, γεῶδες σκῆνος λέγων ᾧ κέχρηται ἡ ψυχὴ ἀπαλλαττομένη τοῦδε τοῦ σώματος πρὸς τὰς μεταβατικὰς ἑαυτῆς κ[ι]νήσεις, ὅπερ μέσον ἐστὶ συνάπτον τὴν νοερὰν οὐσίαν πρὸς τὸ [π]αχύ· τοῦτο τὴν ψυχὴν βαρεῖ, τοῦ σκήνους οὐ τὴν ψυχὴν ἀλλ[ὰ] τὸν νοῦν βρίθοντος. Τοῦτο καὶ ὁ ἀπόστολος διδάσκει λέγων· "6[Ο]ἴδαμεν ὅτι ἐὰν ἡ [ἐ]πίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλύθῃ οἰκοδ[ομὴν ἐκ Θεο[ῦ ἔ]χομεν, οἰκίαν ἀχειροποίητον αἰώνιον ἐν τοῖς οὐρανοῖς· καὶ γὰρ οἱ [ὄ]ντες ἐν τῷ σκήνει στενάζομεν"6· οἰκίαν γὰρ σκήνους λέγων φαν[ε]ρῶς διδάσκει τὰ προειρη- μένα. Ζητήσειεν ἄν τις, εἰ ὁ παράδεισος χωρίον ἐστὶν ὑπεραναβεβηκός, πῶς ἐκεῖ ἐνδιδύσκονται καὶ οὕτως ἐκβάλ- λονται· πρὸς ὃ λεκτέον ὅτι οὐχ ὡς ἔχει τὰ τῆς προφ[ορ]ᾶς, οὕτως καὶ τὰ πράγματα. Ἐν γὰρ τοῖς ἅμα γινομένοις πολλά[κι]ς ἁρμόζει τὸ μὲν πρότερον, τὸ δ' ὕστερον λεχθῆ- ναι, οὐχ ἵ[ν]α, ὡς ἔχει τὰ τῆς προφορᾶς, καὶ τὰ πράγματα ἔχῃ. Τούτου τοῦ [εἴ]δους ἐστὶν τὸ ἐν τῇ προφητείᾳ λεγόμενον οὕτως· "6Ἰδοὺ Κύριος κά[θ]ηται ἐπὶ κούφης νεφέλης, καὶ ἥξει εἰς Αἴγυπτον, καὶ σεισθήσετ[α]ι τὰ χειροποίητα Αἰγύπτου"6· οὐ γὰρ ἀπ' οὐρανοῦ τὸ σῶμα κεκομι[κ]έναι 108 τὸν Κύριον φρονητέον, ἵν' οὕτως ἐπ̣' αὐτοῦ ὀχούμενος ἐπὶ τὴν Αἴγυπτον τὸν περίγειον ἔλθῃ τόπον, ἀλλ' ἅμα τε σῶμα ἔλαβεν εἰς Αἴγυπτον ἦν, τάξεως δὲ οὐ συγχεούσης τὰ πράγματα χάριν εἴρηται. Ὡς οὖν ἐπὶ τοῦ Σωτῆρος οὔ φαμεν ὅτι προκαθίσας ἐπὶ τῆς κούφης νεφέλης ἦλθεν εἰς τὸν κόσμον, ἀλλὰ ταῦτα ἅμα λέγομεν, καὶ ἐνταῦθα οὔ φαμεν ὅτι ἐν τῷ παραδείσῳ ἔσχον τὰ παχέα σώματα καὶ οὕτω ἐκβέβληνται· οὐχ οἷόν τε γὰρ μετὰ σώματος ἐκεῖ τοιούτου διάγειν. Ἀμέλει γοῦν τὸν λῃστὴν γυμνῇ τῇ ψυχῇ εἰς τὸν παράδεισον εἰσήγαγεν λέγων αὐτῷ· "6Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ"6–καὶ γὰρ τὸ αὐτοῦ σῶμα ἐν τῷ ἰκρίῳ ἔμεινεν, ἕως καὶ τῇ γῇ παρεδόθη– ἅμα καὶ ὁ ἀκούσας· "6Σὺ ἀποσφράγισμα ὁμοιώσεως καὶ στέφανος κάλλους ἐν τῇ τρυφῇ τοῦ παραδείσου"6, οὐκ ἐγενήθη ὅμοιός σοι δεικνύμενος ἐκεῖσε διάγειν. Διὰ τούτων παρίστησιν ὡς παχέα σώ[μ]ατα ἐν αὐτῷ διατρίβειν οὐχ οἷά τε ἦν. ιιι, 22. καὶ εἶπεν ὁ θεός. Ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶ[ν] τοῦ γιγνώσκειν καλὸν καὶ πονηρόν; καὶ νῦν μή ποτε ἐκτείν[ῃ τ]ὴν χεῖρα καὶ λάβῃ τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ καὶ ζήσετ[αι εἰ]ς τὸν αἰ[ῶνα]. Οἱ πολλοὶ ὡς χλευαστικῶς εἰρηκότα τὸ ῥῆ[μ]α τοῦτο τῷ Ἀδὰμ τὸν Θεὸν ἐκλαμβάνουσιν, ἀνάρμοστόν τι τῷ [Θ]εῷ λέγοντες. Οὐ γὰρ οἰκεῖον σπουδαίῳ ἀνθρώπῳ ἐπεμβαίνειν πτώματί τινος, μή τί γε δὴ τῷ Θεῷ. Ἐπεὶ γάρ, φησὶν, ὁ ὄφις τοῦτο κατεπαγγείλατο τῇ γυναικὶ λέγων· "6Ἤδει γὰρ ὁ Θεὸς ὅτι, ᾗ δ' ἂν ἡμέρ[ᾳ] φάγητε ἀπ' αὐτοῦ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ καὶ ἔ[σε]σθε ὡς θεοὶ γιγνώσκοντες καλὸν καὶ πονηρόν"6, ὁ Θεὸς εἶπεν τῷ Ἀδὰμ παραβάντι· Ἰδοὺ Ἀδὰμ ὡς ἡμεῖς γέγονεν,εἰρωνευόμενος α[ὐ]τόν. Ἀπάγοντες οὖν ἡμεῖς καὶ ἐξορίζοντες τὴν τοιαύτην 109 ἔνν[οι]αν ἀπὸ τοῦ Θεοῦ οἰκείως τῷ βουλήματι τῆς θεοπνεύ- στου γραφῆς ἐκλάβωμεν καὶ τὸ προκείμενον. Ὁ διάβολος οὐ φύσει κακὸς ἢ κατ' οὐσίαν ἐστίν, ἀλλὰ καλὸς καὶ ἀγαθὸς γέγονεν, κατ' ἰδίαν τε μεταβολὴν τραπεὶς γέγονεν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διάβολος καὶ σατανᾶς καὶ πονηρός· τότε δὲ ἀγαθὸς καὶ καλὸς ἦν, ὅτε τοῦ τάγματος ἐτύγχανε τῶν ἀγγέλων, ἐξ αὐτῶν δὲ ἀπέστη ῥιφεὶς ἐπὶ γῆς διὰ τὴν ὑπερηφανίαν, ἣν ἑαυτῷ ἐπενόησεν. Οὐκ εἶπεν οὖν τῷ Ἀδάμ· Ἰδοῦ γέγονας ὡς εἷς ἡμῶν, ἀλλ' "6ὡς εἷς ἐξ ἡμῶν"6· ἐκ γὰρ τῶν οὐρανίων ὁ εἷς οὗτος ἐξέπεσεν, καθὰ καὶ ὁ ψαλμῳδὸς διδάσκει λέγων· "6Ἐγὼ εἶπα· θεοί ἐστε καὶ υἱο[ὶ Ὑ]ψίστου πάντες, ὑμεῖς δὲ δὴ ὡς ἄνθρωποι ἀποθνῄσκετε καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε."6 Καὶ γὰρ ἐκεῖνος ἄρχων καὶ θεός, οὐ κατ' οὐσίαν, ἀλλὰ κατὰ θεοποίησιν, ἐξέπεσεν ὡς κἀκεῖνοι περὶ ὧν ε[ἴ]ρηται· "6Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν."6 [Εἰ]πὼν δὲ "6Ἰδοὺ γέγονεν Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν"6, ἐπήγαγεν πῶς· "6[το]ῦ γιγνώσκειν καλὸν καὶ πονηρόν"6. Τοῦτ' αὐτὸ γὰρ μόνον [οἱ] μὴ χρώμενοι τῇ ἀρετῇ ἔχουσιν, γινώσκοντες μόνον [τί] καλὸν καὶ [τί] πονηρόν, μὴ διαστέλλοντες δὲ [ὡ]ς αἱρεῖσθαι μὲν τὸ ἀγαθόν, φεύγειν δὲ τὸ κακόν. Ἐναλλὰξ γο[ῦν] τοῖς πράγμασιν χρῶνται κατὰ τοὺς ταλανιζομένους περὶ ὧν λέγεται· "6Οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλὸν καὶ τὸ καλὸν πονηρόν, οἱ τιθέντες τὸ σκότος φῶς καὶ τὸ φ[ῶ]ς σκότος."6 Λέγει δὲ οὕτως ὁ Θεὸς τὸ "6ἐξ ἡμῶν"6 τοῖς ἑαυτο[ῦ ἀ]γγέλοις, καθάπερ βασιλεὺς τοῖς ἑαυτοῦ δορυφόροις. Ὅτ[ι] δὲ τὸ κοινοποιεῖν ἑαυτὸν τὸν Θεὸν μετὰ τῶν ἑαυτοῦ κτισ[μ]άτων ἐκ τῆς γραφῆς γιγνώσκεται, ἔστιν μαθεῖν ἐκ τοῦ π[ρὸ]ς τοῦ Σωτῆρος εἰρημένου τοῖς μαθηταῖς· 110 "6Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν"6, ὃ καὶ αὐτὸ οὐ μικρὰν ἔχει τὴν παρατήρησιν· τὸ μὲν γὰρ "6ἐγείρε[σ]θε"6 πρὸς ἐκείνους, τὸ δὲ "6ἄγωμεν"6 μετ' ἐκείνων. Ἐπεὶ γὰρ ὁ Σωτὴρ "6ἁμαρτίαν οὐκ ἐποίησεν οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ"6, διὸ οὐδὲ ὑπὸ πτῶμα γεγένηται, τοιαύτης ἐγέρσεως οὐ χρῄζει ὡς οἱ μαθηταί, οἷς εἶπεν "6Ἐγείρεσθε"6, "3διαναστῆτε τῶν ἀνθρωπίνων"3, συναριθμεῖ δ' ἐν τῷ ἀπελθεῖν ἑαυτόν. Ἐπεὶ μόνης τῆς ἀνθρωπίνης φύσεως οὐκ ἔστιν χωρὶς ἐπιπνοίας Θεοῦ τῇ ἀρετῇ χρήσασθαι, διὰ τοῦτο "6ἄγωμεν ἐντεῦθεν"6 λέγει· αὐτὸς γάρ ἐστιν κα[ὶ] ποιμὴν καὶ ὅδοσκαὶ βακτηρία, <ἣ> ἐπὶ τὰ θεῖα χειραγωγεῖ. Ἀμέλει γοῦν καὶ τῷ λῃστῇ εἶπεν· "6Σήμερον μετ' ἐμοῦ ἔσῃ [ἐ]ν τῷ παραδεί- σῳ."6 Ἀλλὰ καὶ ἐν τῇ ἀθέῳ ἐπινοηθεί[σῃ] πρὸς ἀνθρώπων πυργοποιΐᾳ εἴρηται· "6Δεῦτε καὶ κατα[β]άντες συγχέωμεν αὐτῶν τὴν γλῶτταν."6 Κἂν γὰρ διὰ ὑπο[υργ]ῶν ἀγγέλων ποιῇ ἃ βούλεται Θεός, –ἀλλὰ λέγω κρίσει α[ὐ]τοῦ γίνεσθαι τὰ γινόμενα, – καταβαίνειν σὺν τοῖς π[ρ]οστελ[λομ]ένοις ὑπ' αὐτοῦ λέγεται. "6Ἰδοὺ"6 οὖν "6γέγονέν"6 [φ]ησιν "6Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν τοῦ γιγνώσκειν καλὸν καὶ πο[ν]ηρόν"6, οἷς ἐπάγει ὥσπερ κατάκρισιν κηδεμονικῶς ὁ φι[λά]νθρωπος. Καὶ γὰρ τὰς ἀπειλὰς καὶ τὰς ἐπαγωγὰς πρὸς [τὸ] συμφέρον ποιεῖται. Τί δέ ἐστιν ὅ φησιν· "6Καὶ νῦν μή [π]οτε ἐκτείνῃ τὴν χεῖρα καὶ λάβῃ τοῦ ξύλου τῆς ζωῆς κ[αὶ] ζήσεται εἰς τὸν αἰῶνα"6; Φθόνος ἔξω θείου χοροῦ ἀπελήλασται· εἰ δὲ τοῦτο, πολλῷ πλέον καὶ ὑπερβαλλόντως ἐν [Θ]εῷ τοῦτον ὑπάρχειν ἀδύνατον. Οὐ φθόνῳ οὖν κωλύει τοῦ 111 ξ[ύ]λου τῆς Ζωῆς πάλιν αὐτοὺς λαβεῖν, ἀλλ' ἀναρμόστως κωλύει. Ὡς γὰρ ὁ Σωτὴρ παραγγέλλει· "6Μὴ βάλητε τὰ ἅγια τοῖς κυσὶν μηδὲ τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων"6, ἐπιφέρει τε καὶ τὸν λογισμὸν λέγων· "6μήποτε καταπατήσωσιν αὐτοὺς καὶ στραφέντες ῥήξωσιν ὑμᾶς"6, οὕτω οὐ καλὸν τὸν ἐν ἁμαρτίαις γεγενημένον καὶ ἔτι ἐν αὐταῖς ὄντα τῆς ζωῆς τοῦ ξύλου δέχεσθαι· καταφρονητικὸν γὰρ τὸ τοιοῦτο. Εἰ δὲ κωλυθείη τῆς τοιαύτης ἀγωγῆς ὁ φαῦλος, μὴ καθ' ἡμέραν ἀκαίρως διδασκαλίας ἐπαΐων ποθήσει ποτὲ αἰσθόμενος οἷ κακῶν ἐστιν· εἰ δὲ καὶ μὴ ποθήσοι, βελτίων ἡ ἐν τοῖς ἐξ ἐπινοίας αὐτοῦ κακ[οῖ]ς διατριβὴ τῆς τῶν θείων καταφρονήσεως, εἰ ταῦτά τις αὐτῷ ἀκ[α]ίρως προσάγοι· πολυχρόνιον γὰρ τὸ κακὸν γίνεται, τοῦ ἀγαθοῦ [κ]αταφρονηθέντος, ἐξ οὗ συμβαίνει ἀνεράστως ἔχειν πρὸς αὐτ[ό]. Τὸ δ' "6εἰς τὸν αἰῶνα"6 πρόσκειται ἀντὶ τοῦ "3διὰ βίου"3, ᾧ ὅμοιόν ἐστι [τὸ] παρὰ Παύλῳ λεγόμενον· "6Οὐ μὴ φάγω κρέας εἰστὸν αἰῶνα, ἵνα μ[ὴ] τὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀδελφόν μου σκανδαλίσω."6 ιιι, 23–24. καὶ ἐξαπέστειλεν αὐ[τὸ]ν Κύριος ὁ θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς ἐργάζεσθ[αι τ]ὴν γῆ[ν] ἐξ ἧς ἐλήμφθη, καὶ ἐξέβαλεν τὸν Ἀδὰμ καὶ κατῴκισε[ν] ἀπέν[αν]τι τοῦ παραδείσου τῆς τρυφῆς. Ζητήσειεν ἄν τις πῶς, τοῦ ὄ[φ]εως μὲν αἰτίου τῆς παραβάσεως γεγενημένου, τῆς δὲ γυναικὸς [ἐξ]απατηθείσης πρώτης, οὐκ εἴρηται περὶ τούτων ὡς ἐξεβλήθησα[ν], ἀλλὰ περὶ τοῦ Ἀδάμ, ὃς εἴρηται παρὰ Παύλῳ τῷ σοφῷ μὴ ἠπατῆ[σ]θαι. Λέγομεν ὅτι, εἰ ὁ τὸ ἐλάττον παθὼν ἔξω τοῦ παραδείσου γ[έγ]ονεν, πόσῳ δὴ πλέον οἱ τὰ μεγάλα πταίσαντες. Εἰ μὲν γὰρ [ὁ] ὄφις ἐκβέβλητο, οὔπω δῆλον τὸ περὶ τῆς γυναικὸς καὶ τοῦ Ἀδὰμ ἄξιον εἶναι τοῦ ἐκβληθῆναι ἀπὸ τοῦ παραδείσου, ἐπειδὴ <δὲ> ὁ Ἀδάμ, ὃ ο[ὐ]χ ὑπόκειται τοῖς μεγάλοις σφάλμασιν, ἔξω γέγονεν, δῆλον ὡς κ[αὶ] οἱ τὰ μεγάλα ἁμάρτοντες. Δύναται δὲ καὶ 112 προσυπακούεσθαι περὶ τῆς γυναικὸς τῷ τὸν Ἀδὰμ ἐκβεβλῆ- σθαι συνεκβαλλομένης καὶ αὐτῆς· καὶ γὰρ τὸ τοῦ Ἀδὰμ ὄνομα ἄνθρωπον σημαίνει, ὅπερ βεβαιοῖ τὸ λόγιον οὕτως ἔχον· "6Καὶ ἔπλασεν"6 γάρ φησιν "6ὁ Θεὸς τὸν ἄνθρωπον ἄρρεν καὶ θῆλυ καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτῶν Ἀδάμ"6, ὅ ἐστιν "3ἐκάλεσεν τὸ ὄνομα αὐτῶν ἄνθρωπον"3. Περὶ δὲ τοῦ ὄφεως λεχθείη ἂν ὅτι ἐν παραδείσῳ ἦν οὐχ ὡς ἄξιος ἐκεῖ διάγειν, ἀλλ' ὥσπερ ἐν τῷ Ἰὼβ εἴρηται ὅτι "6ἦλθον οἱ ἄγγελοι τοῦ Θεοῦ παραστῆναι ἐνώπιον αὐτοῦ"6, οὕτω καὶ περὶ τοῦ ὄφεως ἐκλημπτέον. Ἐξαπέστειλεν οὖν τὸν Ἀδάμ, δῆλον δ' ὅτι καὶ τὴν γυν[α]ῖκα, ὁ Θεὸς ἐκ τοῦ παραδείσου, τὸ δ' ἀποστελλόμενον καιρὸν ἔχει τοῦ ἐ[π]ανακάμψαι· οὐδὲ γὰρ ἐπὶ τῷ ἀνεπι- στρεπτὶ ἔχει<ν> αὐτὸν ἐξαπέστειλεν, ἀλλὰ ἵνα καταντικρὺ κατοικισθεὶς ἀπὸ Θεοῦ ἐν ἀναπολήσει αὐτοῦ γίνηται ἀτενίζων αὐτῷ. Ἐργάζεσθαι τὴν γῆν [ἐ]ξ ἧς ἐλήμφθη ἐξεβλήθη, ἵνα τὸ σκεῦος ἑαυτοῦ ἄγῃ σεμνῶς, ἡν[ιο]χῶν αὐτὸ καὶ μὴ ἐῶν τὰς σωματικὰς ὁρμὰς κατατρέχειν τοῦ [λο]γισμοῦ. Διὰ γὰρ τοῦτο καὶ κατῴκισεν αὐτὸν ὁ Θεὸς καταντικρὺ [τ]οῦ παραδείσου τῆς τρυφῆς, νόμον δεδωκὼς ἐν διανοίᾳ, ὃν [κ]αὶ ὕστε[ρον] γραπτὸν παρέσχετο, ἵνα ἐγκειμένην προστάγμ[α]σιν ἑαυ[τ]οῦ τὴν ἀρετὴν εὑρίσκων χρήσηται αὐτῇ καὶ δι' αὐτῆς [κα]τανόησιν λάβῃ τῆς θείας καὶ καθαρωτέρας ζωῆς τοῦ παραδεί[σο]υ. Καὶ κατανόησον πῶς ἐπὶ μὲν τοῦ Κάιν οὐκ εἴρηται· "3Ἐξέβαλεν [αὐ]τὸν ὁ Θεὸς ἀπὸ προσώπου ἑαυτοῦ"3, ἀλλ' "6ἐξῆλθεν Κάιν ἀπὸ προσ[ώπο]υ τοῦ Θεοῦ"6, νῦν δὲ "6καὶ ἐξέβαλεν τὸν Ἀδάμ"6, τρόπον τινὰ ἔτι ἔχ[οντ]α αὔραν πόθου τοῦ παραδείσου, διὰ δὲ τὸ ἀνάξιον ἐκβαλ- λόμ[ενον]. Οὕτω δὲ οὐχ ὡς παντελῶς ἀλλότριον ἐξέβαλεν· "6Καὶ κατῴκι[σέν]"6 φησιν "6αὐτὸν ἀπέναντι τοῦ παραδείσου"6, ἔτι γὰρ κηδομένου καὶ οὐ[κ ἀ]παγορεύσαντος τὸ κατοι- κίσαι, κατῴκισεν δὲ αὐτὸν νομίμως, ὡς [πρ]οείρηται, 113 ἐνθεὶς αὐτῷ ἔννοιαν τῶν ἀπαγορευόντων τὸ κακὸν νόμων, ὅπερ εἰσαγωγὴ τοῦ ἀγαθοῦ ἐστιν, οὐ κρύψας τὸν παρά- δεισον ἀπ' αὐτοῦ· οὐ γὰρ ἀφεῖλεν ἀπ' αὐτοῦ τὴν γνῶσιν τοῦ καλοῦ, οὐδὲ λήθην ἐνεποίησεν αὐτῷ τῆς ἀρετῆς, καθ' ἣν ἐν παραδείσῳ διῆγεν. ιιι, 24. Καὶ ἔταξεν τὰ χερουβεὶμ καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην φυλάττειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς. Αἱ προσηγορίαι τῶν ὑπ[ε]ρβεβηκυιῶν δυνάμεων, ὡς ἂν εἴποι τις, οὐχ ἁπλῶς κα[τὰ] τὰ παρ' ἡμῖν κύρια καλούμενα ὀνόματά εἰσιν, ἀλλὰ πολ[ιτ]ειῶν σημαντικαί· ἀρχαὶ καὶ ἐξουσία<ι>, θρόνοι, κυριότητε[ς δ]ιὰ τὸ ἄρχειν καὶ ἐξουσιά- ζειν καὶ βασιλεύειν, –τοῦτο γὰρ ὁ θ[ρό]νος δηλοῖ κατὰ τὸ ἐν Παροιμίαις λεγόμενον· "6Μετὰ γὰρ [δικ]αιοσύνης ἑτοιμάζεται θρόνος ἀρχῆς"6, –καὶ κυριότητες δ[ὲ δ]ιὰ τὸ κυριεύειν λέγονται. Οὕτω χερου<βεὶ>μ ἐκ τοῦ ἐνυπάρ- χοντ[ος] αὐτοῖς ἐκλήθησαν· "3πλῆθος"3 γὰρ "3γνώσεως"3 ἑρμηνε[ύε]ται χε[ρο]υβείμ. Ἀπ' αὐτοῦ οὖν τούτου τοῦ προσόντος αὐτοῖς ἡ προσηγο[ρία] εἴρηται. Ταὐτῇ τοι καὶ ἀπὸ τοῦ Ἀβρὰμ Ἀβραὰμ μετωνο[μά]σθη καὶ ἀπὸ Σάρας Σάρρα καὶ ἀπὸ Ἰακὼβ Ἰσραήλ, καὶ Πέ[τρο]ς δ' ὁ πρόκριτος τῶν ἀποστόλων τῆς προσηγορίας ταύτη[ς τ]ετύχη- κεν διὰ προκοπὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀρετῆς ὡς καὶ οἱ προεκτεθ[έν]τες. Ἀπὸ γὰρ ὑποδεεστέρας ἀρετῆς, ἥτις διὰ τῶν πρώτω[ν ὀ]νο- μάτων ἐσημαίνετο, διαβάντες ἐπὶ μείζονα, οἰκείως [ἀρετ]ῆς τὰς προσηγορίας ἐδέξαντο, ὡς ἔνεστιν ἐντύχοντα τα[ῖς τ]ούτων ἑρμηνείαις θεωρῆσαι. Ἀβρὰμ μὲν γὰρ ἑρμηνεύε[ται] 114 πρὸς ἑτέραις καὶ "3πατὴρ υἱοῦ"3, Ἀβραὰμ δὲ "3πατὴρ υἱῶν"3, τοῦ μὲν πρώτου δηλοῦντος διδασκαλικὴν ἕξιν, οὔ̣πω δὲ διαβαίνειν εἰς πάντας δυναμένην, ὅπερ ἐδήλου δ̣εύτερον· Σάρα δέ, ἑνὸς προσγραφομένου ῥῶ, "3μικρότης"3 ἑρμηνεύεται, ὅπερ δηλοῖ τὸν εἰσαγωγικὸν τρόπον, Σάρρα δὲ "3ἄρχουσα"3 δι' οὗ δηλοῦται ἡ τελειότης τῆς ἀρετῆς· ἀρχικὸν γὰρ αὕτη καὶ δυνατώτατον. Ἰακὼβ "3πτερνιστὴς"3 ἑρμηνευόμενος παρίστησι τὸ ἀσκητικὸν καὶ πρὸς τὰ πάθη ἀντιστατικόν, Ἰσραὴλ δὲ πρὸς τοῦ Θεοῦ μετονομαζόμενος τοῦ μηδὲν εἰκαίως ποιοῦντος, παρίστησιν τὸ θεωρητικὸν καὶ τὴν τοῦ νοῦ καθαρότητα, καθ' ἣν Θεὸν ὁρᾷ, [ὅπ]ερ μετὰ τὴν ἠθικὴν κατόρθωσιν συμβαίνει· "3νοῦς"3 γὰρ "3[ὁρῶ]ν Θεὸν"3 Ἰσραὴλ ἑρμηνεύεται. Τί δὲ δεῖ περὶ τοῦ προκρ[ίτο]υ τῶν ἀποστόλων λέγειν, ὅποτε ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς φανε[ρῶ]ς ἐν τῷ εὐαγγελίῳ διὰ τὴν ὁμολογίαν αὐτὸν οὕτω κέ[κ]ληκεν· εἰπόντι γὰρ "6Σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος"6 [ἀπε]κρίνατο· "6Σὺ εἶ Πέτ̣ρος καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομή[σω] μου τὴν ἐκκλησίαν̣, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐ[τῆς]."6 Καὶ τα[ῦτα] μὲν περὶ τούτων· ἐπανέλθωμεν δὲ ἐπὶ τὸ ἐ̣[ξ ἀ]ρχῆς· "6Κ[αὶ] ἔταξεν τὰ χερουβεὶμ καὶ τὴν φλογίνην ῥομ[φα]ίαν τὴν στρεφομένην φυλάττειν τὴν ὁδὸν τοῦ ξύ[λου] τῆς ζωῆς"6. Κ̣αὶ ἔστιν καὶ ἀπὸ τούτων ἐλέγξαι τοὺς κ[αὶ νῦ]ν εἶναι νομίζοντ̣ας ἐπὶ γῆς τὸν παρά- δεισον, ἐρω̣[τῶν]τας αὐτοὺς πῶς ῥ̣ομφαίαφυλάττει ἄψυχος, εἰ οὕτω λ[αμβά]νοιτο· <τὸ> γὰρ φυλάττειν οὐκ ἐμψύχου μόνον ἀλλὰ καὶ λο[γικοῦ] τυγχάνει, καὶ μάλιστα Θεοῦ παράδεισον. Τίνα δὲ δώσουσι[ν λό]γον περὶ τοῦ μὴ ἕτερά τινα δεδόσθαι φυλάττειν τὴν ὁδὸ[ν το]ῦ ξύλου 115 τῆς ζωῆς ἢ τὰ ὑπερανεβεβηκότα λογικὰ χερουβείμ; Ἐκ γὰρ τῶν φυλαττόντων τὸ μέγεθος τοῦ φυλαττομένου ἔστιν μὲν νοεῖν. Πῶς δὲ ἐπὶ μὲν τῆς ῥομφαίας ὁ ἑνικὸς εἴρηται χαρακτήρ, ἐπὶ δὲ τῶν χερουβεὶμ πλῆθος; Οὐκοῦν ἐπειδὴ οὐδὲν παρ' ἐκείνων ἢ ψυχρά τινα, ἃ οὐδὲ λέγειν καλόν, λεχθήσεται, ὥρα ἡμᾶς, ἀξίαν τοῦ θείου παραδείσου ἐννοοῦντας τὴν δοθεῖσαν φυλακήν, οἰκείως περὶ τούτου, Θεοῦ δίδοντος, διαλαβεῖν. Φιλανθρωπίαν μὲν οὖν τοῦ Θεοῦ τῶν ὅλων σημαίνει τὸ μίαν εἶναι ῥομφαίαν, ὅπερ σημεῖόν ἐστι κολαστικῆς δυνάμεως, τὴν φυλάσσουσαν, "3πλῆθος"3 δὲ "3[τ]ῆς γνώσεως"3 τῆς ἐπὶ τὴν θείαν ἀρετὴν ἀγούσης. Οὐ γὰρ κα[τ]ὰ τὰ ἁμαρτήματα ἐπάγει Θεὸς τὰς κολάσεις, πολλὰς διδο[ὺ]ς ἀφορμὰς ἐπὶ σωτηρίαν ἄγουσας. Καὶ ὅτι μὲν οὐ κατ' ἀξίαν κ[ολ]άζει, δηλοῖ ὁ ψαλμός· "6Ἐὰν ἀνομίας παρατηρήσῃ, Κύριε, τί[ς] ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν"6. Τῶν δ' ἐπὶ τὴν ἀ[ρετ]ὴν καλούντων πολλὰ τὰ αἴτια, πρῶτον ἡ τῶν κοινῶν ἐνν[οιῶ]ν δόσις, καθ' ἃς σῳζόμενας ἀδιαστρόφους ἡ ἀρετὴ κατο[ρ- θο]ῦται, ἐπὶ τούτων διὰ πλῆθος ἁμαρτίας κα[λυφ]θεισῶν [π]ατριάρχαι, νόμος, προφῆται καὶ ἐπὶ συντελείᾳ τῶν [α]ἰώνων [ὁ] Κύριος, ὃς καὶ τοὺς ἀποστόλους δέδωκεν, καὶ ὅλως οὐδὲν τῶν πα[ρὰ] τῆς προνοίας ἐστὶν ὃ μὴ ἐπὶ σωτηρίαν̣ καλεῖ. Ἀλλὰ καὶ ἡ [ῥ]ομφαία χρησίμως καὶ δι' αὐτὸ τοῦτο τέθειται. Ἢ οὐ θε[ῖος] παράδεισός ἐστιν καὶ ὁ τῆς γραφῆς λόγος ἔχων ἐν ἑαυ[τῷ] καὶ τὰς ἀπειλὰς τὰς κατὰ τῶν μὴ βουλομένων ἕπεσθ[αι τ]αῖς τοῦ Θεοῦ προστάξεσιν καὶ τὰς μυρίας διορθώσεις ἐπὶ τὴ[ν ἀ]ρετὴν καλοῦσας; Καὶ γὰρ αὗται, ποιητικαὶ τυγχάνουσαι τῆ[ς] ἐπὶ τὸν παράδεισον εἰσόδου, κωλύουσι καὶ τῆς κολάσεως [τ]ὴν πικρίαν. Ὅτι δὲ ἡ ῥομφαία ἀντὶ κολάσεως ἐν ταῖς γραφ[αῖς] 116 φέρεται, ἔστιν ἐκ πολλῶν μαρτύρασθαι· "6Ἐν ῥομφαίᾳ"6 φησὶν "6τελευτήσουσιν πάντες ἁμαρτωλοὶ λαοῦ"6· καὶ οὐδήπου πάντες διὰ ξίφους ἀποθνῄσκουσιν, ἀλλὰ τὴν μέλλουσαν κατὰ τῶν ἁμαρτανόντων ἐπιφέρεσθαι κόλασιν τὸ τῆς ῥομφαίας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὄνομα δηλοῖ· καὶ τὸ "6Ὑμεῖς δ' Αἰθίοπες τραυματίαι ῥομφαίας μού ἐστε"6 τὴν αὐτὴν παρίστησιν διάνοιαν· ἀλλὰ καὶ τὸ λεγόμενον ἐν τῇ Ἐξόδῳ ὑπὸ τῶν ὑπὸ τοῦ Φαραὼ καταπονουμένων πρὸς Μωσέα καὶ Ἀαρών· "6Ἴδοι ὁ Θεὸς καὶ κρίναι *** δοῦναι ῥομφαίαν εἰς τὰς χεῖρας Φαραώ"6, δηλοῦσιν δὲ διὰ τοῦ ὀνόματος τῆς ῥομφαίας τὴν καθ' ἑαυ[τ]ῶν ἐπενεχθεῖσαν θλῖψιν. Τούτοις συνᾴδει καὶ τὸ "6Ἐὰν μὴ ἐπιστραφῆτε τὴν ῥομφαίαν αὐτοῦ, στιλβώσει"6· αὕτη δὲ στ[ρε]φομένη εἴρηται, ἵνα, στρα- φέντος ἀπὸ κακίας ἐπ' ἀρετὴν [τ]οῦ ἀνθρώπου, καὶ αὐτὴ στραφῇ τὴν εἴσοδον παρέχουσα. Ἡ φυλακὴ ο[ὖν, εἰ]ς ἣν τέθεινται ἡ ῥομφαία καὶ τὰ χερουβείμ, ὡς πρ[οείρ]ηται, εἴη πρὸς ὠφέλειαν, ἵνα, εἰ γένοιτο πόθος τινὶ τῆς εἰσόδου, [δι]ὰ τούτων ἡ χειραγωγία γένηται, τῶν μὲν χερουβεὶμ αἰνιττο[μέν]ων τὴν γνῶσιν τῆς ἀληθείας, ἧς μετέχειν δεῖ τὸν εἰσεῖνα[ι β]ουλόμε[νο]ν, τῆς δὲ ῥομφαίας τὴν ἐπίπονον ἀγωγήν· καὶ γὰρ δι[ὰ π]ολλῶν [θλ]ίψεων τῆς εἰσόδου ἔστιν τῆς βασιλείας τυχεῖν, ὡ[ς γ]έγραπται. Ὅτι δὲ στρεφομένη ἡ παρὰ Θεοῦ ἐκ[κε]ιμένη κόλασις καὶ οὐ πάντως ἐνερχομένη, τὰ κατὰ Νινευεί[τα]ς διδάσκει, οἳ τὴν ὀργὴν διὰ μετανοίας ἐκώλυσαν· τούτοις [δὲ] τὰ τῆς ἀπειλῆς ἐστράφη. Ἀλλὰ καὶ οἱ ἅγιοι, εἰδότες τὸ περὶ τ[ὰ] χερουβεὶμ κρῖμα καὶ ὡς οὐχ οἷόν τε εἰσελθεῖν εἰς τὸν παρά[δει]σον χωρὶς τῆς περὶ αὐτὰ τοῦ Θεοῦ οἰκονομίας, φασίν· "6Ὁ καθή[μ]ενος ἐπὶ τῶν χερουβεὶμ ἐμφάνηθι"6 καθάπερ ἡνίοχος αὐτοῖς ἐ[πο]χούμενος καὶ τῇ σῇ βουλῇ ἀνοίγων ἢ κλείων τὴν εἴσοδον, ὅτ[ι] τ[ο]ῖς σοῖς πειθόμενοι προστάγ- 117 μασι οἱ ἔξω εἰσελθεῖν ἐπιθυμοῦσιν. Ἀλλὰ καὶ ἄλλοι ἐπιστάμενοι ὡς αὐτός ἐστιν ὁ ἀποφηνάμενος κατὰ τοῦ ἀνθρώπου· "6Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ"6, παρακα- λοῦσιν αὐτὸν λέγοντες· "6Ὁ καθήμενος ἐπὶ τῶν χερουβείμ, σαλευθήτω ἡ γῆ"6, ἵνα, μεταβολῆς γεγενημένης περὶ τὴν γῆν, εἴπῃ τῷ λῃστῇ· "6Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ"6.

**ιη, 1–2.** Ἀδὰμ δὲ ἔγνω Εὔαν τὴν [γ]υναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκεν τὸν Κάιν καὶ εἶπεν· Ἐκτησάμην ἄνθρω- πον διὰ τοῦ Θεοῦ. Καὶ προσέθηκεν τεκεῖν τ[ὸ]ν ἀδελφὸν αὐτοῦ τὸν Ἄβελ. Καὶ ἐγένετο Ἄβελ ποιμὴν π[ρο]βάτων, Κάιν δὲ ἦν ἐργαζόμενος τὴν γῆν. Ἀκολούθως μετὰ τὴν ἐ[κ]βολὴν τὴν ἐκ τοῦ παραδείσου καὶ τὴν ποίησιν τῶν δερμ[α]τί[ν]ων κιτώνων εἴρηται· Ἔγνω δὲ Ἀδὰμ Εὔαν τὴν γυνα[ῖκα] αὐτοῦ, τῆς γνώσεως ἀντὶ πείρας καὶ τῆς πρὸς γυναῖκα [συν]όδου λεγομένης· ᾔδει γὰρ αὐτὴν κατὰ τὸ τοῦ ἐπίστα[σθ]αι σημαινόμενον· οὕτω γοῦν καὶ εἶπεν θε[α]σ̣άμεν[ος] αὐτήν· "6Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου"6. [Κα]τὰ τὴν [γ]νῶσιν ἣν ἔγνω Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ εἴρηται κα[ὶ ἐ]ν ταῖς Βασιλείαις· "6Ἔγνω Ἐλκανᾶ Ἅνναν τὴν γυναῖκααὐτοῦ"6. [Οὕ]τως εἴρηται καὶ περὶ Ῥεβέκκας· "6Παρ- θένος ἦν, ἀνὴρ οὐκ ἔ[γνω] αὐτήν"6, καὶ οὐδήπου ὑπ' οὐδένος ἐγιγνώσκετο ἀνδρό[ς, ἀ]λλὰ δῆλον ὡς διὰ τὸ μήπω συνελη- λυθέναι αὐτὴν ἀνδρὶ [οὕ]τως εἴρηται. Εὖ δὲ καὶ τὸ εἰπεῖν· "6Παρθένος ἦν, ἀνὴρ οὐκ ἔγν[ω] αὐτήν"6· εἰ μὴ συνετῶς νοηθῇ, δισσολογία ἂν εἴη, ἀλλὰ δ[ηλ]ῶσαι βουλόμενον τὸ λόγιον ὡς καὶ σώματι καὶ γνώμῃ ἁγνοτάτη ἐτύγχανεν, 118 οὕτως εἴρηκεν. Οὕτω θειότερον καὶ Μαρία ἔφασκεν· "6Πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γιγνώσκω;"6 Ἀλήθης γὰρ οὖσα ὄψεως ἀνδρός, διεταράχθηθεασαμένη τὸν ἄγγελον, εἰ μὴ αὐτὸς αὐτῆς ἀφεῖλεν τὸν φόβον, πιθανὸν δὲ καὶ τὸ νομομαθὴ οὖσαν ἐννοῆσαι μὴ ἄρα τις τῶν παραβάντων ἀγγέλων ἦν ὁ φανείς, τῶν ἐπιτεθυμηκέναι εἰρημένων τὰς τῶν ἀνθρώπων θυγατέρας. "6Καὶ συλλαβοῦσα ἔτεκεν τὸν Κάιν."6 Ἕτερο[ς] τρόπος γενέσεως ἀνθρώπων ὑπογράφεται· ὁ μὲν γὰρ Ἀδὰμ ἀπ[ὸ] χοῦ πέπλασται, ἡ δὲ Εὔα ἀπὸ τῆς πλευρᾶς τοῦ ἀνδρὸς λη[μ]φθεῖσα ᾠκοδομήθη, οὗτος δὲ ὁ νῦν γεννώμενος ἐξ ἀ[μ]φοτέρων τοκέων πρῶτος προῆλθεν, τῆς κατὰ τὸν Σωτῆρα γ[εν]ἐ̣σεως ἐκ μόνης παρθένου γεγενημένης. Οὐκ ἄκαιρον γὰρ τ[ο]ῦτο παρασημήνασθαι, ἵνα πάντες οἱ τρόποι τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνθρώπων γενέ[σ]εως ἐξαριθμηθῶσιν, σῳζόντων ἡμῶν τὰ προειρημέ[ν]α [π]ερὶ τοῦ χοῦ, ὡς τῆς σωμα- τικῆς οὐσίας δηλουμένης, κα[ταλ]λήλου δηλαδὴ τῆς ἐν παραδείσῳ διατριβῆς ὄντος το[ῦ σ]ώματος. "6Συλλαβοῦσα"6 δὲ εἴρηται ἐνταῦθα καὶ δῆλον [ὡς ἐ]κ σπερμάτων οὗτοι· ἀκολούθως δέ, ἅτε μὴ πάντη ἐ[ξ̣ηρ]ημένη τὸν περὶ προνοίας λόγον, εἶπεν· "6Ἐκτη- σάμην ἄνθρωπ[ον] διὰ το[ῦ Θεοῦ]"6· εἰ γὰρ ὑπηρέτησαν ὡς γονεῖς τῇ ἀποτέξ[ει], ἀλλ' ἀγω[γῇ] Θεοῦ τὸ πᾶν ἤρτυται. Τὸ δὲ "6διὰ τοῦ Θεοῦ"6 ἁπλοῦστ[ερο]ν ἐκλαβεῖν δεῖ ἀντὶ τοῦ "3παρὰ τοῦ Θεοῦ"3· οὕτως γὰρ καὶ ὁ Ἰωσ[ὴφ] εἶπεν· "6Οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις αὐτῶν ἐστιν;"6 ἀντ[ὶ το]ῦ "3παρὰ Θεοῦ"3. "6Καὶ προσέθηκεν τεκεῖν τὸν ἀδελφὸν τοῦ Κ[άι]ν τὸν Ἄβελ"6. Ὁ Φίλων μὲν οὖν βούλεται διδύμους αὐτοὺς εἶν[αι] ἀπὸ μιᾶς συλλήμψεως· διό, φησίν, πρόσκειται τῷ ἔτεκεν τ[ὸν] Κάιν τὸ προσέθηκεν τεκεῖν τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἀβέλ. Π[ό]τερον ὑγιῶς ἔχει ἢ οὔ, ἐπιστήσας δοκιμάσεις, δυνατοῦ ὄντ[ο]ς καὶ χωρὶς αὐτοὺς ἐν διαφό- ροις χρόνοις γεγεννῆσθαι· καὶ γ[άρ], εἴ τῳ φίλον προσέσθαι
119 τὴν βίβλον τῆς διαθήκης εὑρήσει ἐν αὐτῇ καὶ πόσον θάτερ[ο]ς θατέρου τῷ χρόνῳ προσείληφεν. Ὅσα μὲν οὖν Φίλων εἰς τοῦτο ἀλληγορῶν εἶπεν, ὁ φιλόκαλος εἴσεται, λεκτέον δ' ὅμως εἰς τοῦτο τὰ κατὰ δύναμιν. Ἡ ψυχὴ τοίνυν, ὅτε μὲν παροράματι καὶ σφάλματι ὑποπίπτει, ἀπογεννᾷ φαῦλα γεννήματα, ἐὰν δὲ νήματα, ἐὰν δὲ ἀνανήψας ὁ νοῦς ἐπιστροφήν τινα σχῇ, τότε δῆτα ἄρχεται ἐκεῖνα μὲν ἀπωθεῖσθαι, τίκτ̣ε̣ιν δὲ εἰσαγωγὴν ἀρετῆς, ὅπερ ἐστὶν ἀποδεκτόν· κατ' ὀλίγον [δὴ] προκοπῇ αὐξομένη ἐπὶ τὸ τέλειον ἥξει ποτέ, τὸ ἀνάπαλιν δὲ ἄπευκτον, ἀρετῆς προκαταρξαμένης, κακίαν προσθεῖναι τ[ο]ῦ ἀστείου λογισμοῦ παρατραπέντος. Εὖ δὲ καὶ τὸ τὰ ἐπιτηδε[ύμα]τα αὐτῶν ἀναγεγρᾶφθαι· "6<Ὁ> μὲν"6 γὰρ "6Ἄβελ"6 φησὶν "6ἐγένετο πο[ι]μὴν προβάτων, Κάιν δὲ ἦν ἐργαζόμενος τὴν γῆν"6, ὅπερ ὡς πρὸς τὴν ἱστορίαν ἔχοι παρατήρησιν οὐκ εὐκαταφρόνητον, καὶ τ[ὴ]ν̣ τάξιν ἡμῶν ἐπιτηρούντων. Ἐν μὲν γὰρ τῇ γενέσει τὸν Κάιν [προ]έταξεν, τοῦ χρόνου τοῦτ' ἀναγκά- ζοντος, ἐν δὲ τοῖς ἐπιτη[δεύ]μασιν προτάττει τὸν δίκαιον. Ἀστεῖα γὰρ καὶ τιμιώτερα τ[ὰ το]ῦ Ἄβελ, ὧν ἐσπούδαζεν Κάιν· τὰ μὲν γὰρ ἔμψυχα τῶν ἀψ[ύχων] τῷ τῆς φύσεως λόγῳ διαφέρει. Καὶ ταύτῃ κ[αλῶς] ὁ Φίλω[ν] τοὺς ἀρχῆς μέλλοντας ἐπιλαμβάνεσθαι τῆς τε [ἑτ]έρων κ[αὶ] τῆς ἑαυτοῦ ἐν τῇ ποιμενικῇ προπαιδεύεσθαι ἔφη. Κάιν δ[ὲ ο]ὐκ ἐρρέθη γεωργός, ἀλλ' ἐργαζόμενος τὴν γῆν· οὐ γὰρ ἦν ἀ[στε]ῖος κατὰ τὸν Νῶε, ὅστις γεωργός, οὐκ ἐργάτης, εἴρηται. Πρὸς δὲ ἀ[λλ]ηγορίαν ποιμήν ἐστιν ὁ Ἅβελ ζῴων, ὅ ἐστιν τῶν αἰσθήσ[εω]ν, ὑπὸ ἐπιστήμην ἄγων ταῦτας ὡς νομεὺς ἄριστος, τῷ τ[ε θ]υμικῷ καὶ ἐπιθυμητικῷ ἡνίοχον καὶ ταξίαρχον τὸν λογισ[μὸ]ν ἐπιτιθείς. Ὁ δὲ Κά̣ιν περὶ τὴν γῆν καὶ τὰ γήϊνα εἰλ[υ]σ<πώ>μενος οὐ γεωργὸς εἴρηται–ἢ γὰρ ἂν καὶ περὶ αὐτὰ τάξιν [ἐ]ζήτει–, ἀλλ' ἐργαζόμενος τὴν γῆναὐτὸ μόνον, φιλοσώματός 120 [τι]ς ὤν, μηδένα λόγον ἢ τάξιν ἔχων, ὃς εἴποι ἂν προσφόρως ἑαυτῷ· "6Φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθ[ν]ήσ- κομεν"6, τοῦ σὺν ἐπιστήμῃ θείᾳ ταῦτα ποιοῦντος κατὰ τὸ λεχθὲν "6Εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε"6 ἀλλ' οὐκ ἐργάτου γῆς τυγχάνοντος. Οὗτοι δέ, ὡς προείρηται, τρόποι ψυχῆς ἂν εἶεν διάφοροι κατὰ διαφόρους ἐνεργούμενοι χρόνους. ιη, 3–5. Καὶ ἐγένετο μεθ' ἡμέρας ἤνεγκε̣ν Κάιν ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν τῷ Κυρίῳ, καὶ Ἄβελ [ἤν]εγκεν καὶ αὐτὸς ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων αὐτοῦ καὶ ἀπὸ τῶν στεάτων αὐτῶν. Καὶ ἐπεῖδεν ὁ Θεὸς ἐ[π]ὶ Ἄβελ καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ, ἐπὶ δὲ Κάιν καὶ ἐπὶ ταῖς θυ[σία]ις αὐτοῦ οὐ προσέσχεν· καὶ ἐλύπησεν τὸν Κάιν λίαν καὶ συνέπεσεν τῷ προσώπῳ. Σύντονον καὶ ἀνενδοίαστον εἶνα[ι] προσήκει τὸν ἐνάρετον, ὡς μὴ μόνον αὐτὸν ἑτοιμότ[ε]ρ̣ον εἶναι πρὸς τὴν τῆς ἀρετῆς ἐνέργειαν, ἀλλὰ καί, κω[λυό]ντων ἄλλων, ἐθέλειν αὐτῆς προκινδυνεύειν καθάπ[ερ] ἥ τε μακαρία Σουσάννα καὶ Ἰωσὴφ ὁ ἀνδρειότατος·



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πε[ιρώ]μενοι γὰρ ὡς ἀντεχό- μενοι τῆς σωφροσύνης περιπ[οι]οῦνται [ἐνσ]τάσεσιν. Κύριοι γὰρ τοῦ ταύταις περιβαλεῖν ἐφαίνον[το] οἱ εἰς ἁμαρτίαν προτρεπόμενοι· ὅμως οὐκ εἶξαν, [ἀ]λλ' εἵλαντ[ο] τὸ γνήσιον τὸ πρὸς Θεὸν διατηρεῖν, καὶ εἰ θάνατ[ος] γένοιτο· οὕτως διαπύρῳ τῷ πόθῳ τῆς ἁγνείας ἀντείχον[το], καὶ τὸ τέλος δὲ διέδειξεν καὶ τοῖς ἀπίστοις τὴν κρίσιν [α]ὐτῶν καὶ τὴν δοκιμασίαν σωτήριον Θεοῦ, τῆς ἀρετῆς αὐ[το]ὺς ἀποδεξαμένου. Ἀλλ' ὁ Κάιν οὐ τοιοῦτος, μελλητὴς δ[ὲ ε]ἰσάγεται· "6Μεθ' ἡμέρας"6 γὰρ "6ἤνεγκεν ἀπὸ τῶν καρπῶν τῆς γῆς"6, ὥσπερ ἔκ τινος μεταγνώσεως Θεοῦ μνημονεύων. Το[ῦ]το καταμεμφομένη ἡ θεία γραφὴ διδάσκει· "6Μὴ 121 ἀπόσχῃ εὖ [π]οιεῖν ἐνδεῆ, ἡνίκα ἂν ἔχῃ ἡ χείρ σου βοηθεῖν. Μὴ εἴπῃς· Ἐπανελθὼν ἐπάνηκε καὶ αὔριον δώσω, δυνατοῦ σου ὄντος εὖ ποιεῖν"6. Περὶ δὲ τοῦ Ἄβελ οὐκ εἴρηται ὡς "6μεθ' ἡμέρας"6, ἀλλά· "6Καὶ Ἄβελ ἤνεγκεν καὶ αὐτός"6· καὶ ποῖα ἤνεγκεν, παρασημαίνει τὸ λόγιον, αἰνιττόμενον αὐτῶν τὸ οἰκεῖον καὶ τίμιον· "6ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων αὐτοῦ καὶ ἀπὸ τῶν στεάτων"6. Ἅτε δὲ τοῦ μὲν Κάιν ἠμελημένως πεποιηκότος τὰ τῆς προσαγωγῆς, τοῦ δ' Ἄβελ γνησίως, "6ἐπεῖδεν ὁ Θεὸς ἐπὶ Ἄβελ καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ, ἐπὶ δὲ Κάι[ν] καὶ ἐπὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχεν"6. Τὸ γὰρ γνήσιον διαφ[αί]νεται τοῦ Ἄβελ· πρωτότοκα γὰρ προσήγαγεν, τὰ τιμιώτατα τ[ῷ] Θεῷ κρίνας ἀπονέμειν, ὧν ἐστιν καὶ τὰ στέατα, ὡς ἔδει κ[αὶ τ]ὸν Κάιν ποιῆσαι, ἀπὸ τῶν πρωτογενημάτων παράσχοντα. Ἀ[π]άρχεσθαι γὰρ προη- γουμένως πρέπει τῷ Θεῷ, ὅπερ πνευματικῶς ὁ μακάριος Δαυὶδ ποιεῖ λέγων· "6Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρ[ὸ]ς σέ, ὁ Θεός"6, οὐδέν μοι τῶν ἄλλων πρόκριτόν ἐστιν ἀλλ' ἡ πρὸ[ς] σὲ καταφυγή· καίτοι σοι τῷ Θεῷ πρὸ παντὸς πράγματος ἀπο[νέμητ]αι τὰ καθήκοντα. Δῶρον δὲ θυσίας ταύτῃ διαφέρει ὅτ[ι τὸ μ]ὲν δῶρον ἀπὸ ζῴων προσάγεται, ἡ δὲ θυσία οὐχί· ὅσῳ δὲ [ζῷ]α τῶν ἀψύχων τῇ φύσει τιμιώτερα φανερ[όν. Τί] δὲ τὸ "6[Οὐ] προσέσχεν ὁ Θεός"6, ἐξ οὗ καὶ λελύ- πηται Κάιν καὶ συν[έπ]εσεν αὐτοῦ τὸ πρόσωπον, εἴποι τις ἄν, ἢ πῶς ἔγνω Κάιν ὅτι ο[ὐ] προσεδέ[χε]το Θεός, ἵνα καὶ λυπηθῇ; πρὸς ὃ λέγοι τις τὰ ἀπὸ τῆς βίβλου τῆς δ[ιαθ]ήκης, ἐν ᾗ γέγραπται ὡς ἀπ' οὐρανοῦ πῦρ κατιὸν ἐδέχετο [τὰς] θυσίας τὰς δεόντως προσαγομένας, ἐξ οὗ εἰκὸς ἐγνωκ[έ]ναι τὸν Κάιν, ἐπὶ τὰς αὐτοῦ μὴ ἐπελ- θόντος τοῦ πυρός, τῶ[ν τ]οῦ Ἄβελ δαπανηθεισῶν ὑπ' αὐτοῦ. Τοῦτο δὲ καὶ ἐν τῷ Λευι[τι]κῷ ἐγίνετο· οἱ γὰρ προαγα- γόντες ἀλλότριον πῦρ ἐπὶ τὸ θυ[σι]αστήριον δίκην ὑπέσχον οὐ μίκραν, καὶ Ἠλίας ὁ μέγας προφήτης [π]ρὸς τοὺς 122 ἱερεῖς τῆς Βάαλ ἀπομαχό<μενος> διέδειξεν ὡς ἀπ' οὐρανοῦ τὸ πῦρ κατῄει ἐπὶ τὰς αὐτοῦ, ἁγίου ὄντος, θυσίας. Ταῦτα μὲν οὖν ἡ τοῦ ῥητοῦ παρέχει διήγησις· ὁ δὲ τῆς ἀναγωγῆς νοῦς τοιοῦτος ἂν εἴη· οἱ τὴν ἀρετὴν ὑποκρι- νόμενοι τῷ μὴ ἀπὸ γνησίας προθέσεως ἀλλ' ἄλλου χάριν τὴν ἐξωφάνειαν ἐπιδείκνυσθαι μελληταί τινές εἰσιν καὶ ἀδόκιμοι, οὐκ ἀπαρχόμενοι τῷ Θεῷ· ἀπαρχὴ δ' ἐστὶν ἀρετῆς ἡ ἀπὸ τῆς γνώμης· κίνησις ἐπ' [α]ὐτὴν ἐκεῖθεν φύεται. Τοῦτο Δαυὶδ παιδεύει φάσκων· "6Ἀλλ' ἦν [ἐν] νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ"6· οἱ δ' ὑποκριταί, οὐκ ἔχοντες ἀρετ[ῆ]ς θέλημα, ἢ αἰσχροῦ χάριν κέρδους, ὡς εἴρηται, ἢ δόξης τὰ τῆς ἀ[ρε]τῆς ὑποκρίνονται. Ταύτης ὢν τῆς μερίδος Κάιν προσήγα̣[γεν] μεθ' ἡμέρας, ὁ δ' Ἄβελ ἀμελλητὶ ζῷα πρωτότοκα καὶ στέατ[α] προσάγει· οὐδεμίαν γὰρ ἑαυτοῦ πρᾶξιν οἴεται ἀπαρχόμενος ὁ [ἐ]νάρετος εἶναι μὴ τῷ Θεῷ προσήκουσαν, καθὰ καὶ Παῦλος ὁ μα[κ]άρ[ιο]ς λέγων· "6Οὐκ ἐγὼ δέ, ἀλλὰ ἡ χάρις τοῦ Θεοῦ σὺν ἐμοί"6, καὶ ὁ Ψα[λμ]ῳδός· "6Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπία[σαν ο]ἱ οἰκοδομοῦντες αὐτόν."6 Ὁ Ἄβελ οὖν τὰ ζωτικὰ καὶ ἄλογα κ[τή]ματα [⋯ημ]ε- ρώσας τῷ λογισμῷ καὶ εὐσταθῆ ποιήσας ἀνέ[φ]ερε τῷ [Θε]ῷ οἰκείων αὐτῷ καὶ μὴ τοῖς πάθεσιν. Γίνεται λύπ[η] τοῖς μὴ ὃν δεῖ τρόπον χρωμένοις τοῖς πράγμασιν, δίκην πυρὸ[ς] τοῦ συνειδότος ἐλέγχοντος καὶ παραδεικνύντος, κἂν ἔτι [ἡ] κακία ἐνέχηται,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ ἀπρεπὲς τῶν ἐνεργουμένων, ἐξ οὗ καὶ σ̣[υ]μπίπτει τὸ τῆς ψυχῆς πρόσωπον, ἀφ' οὗ καὶ οἱ σωματικοὶ χαρα[κτ]ῆρες δέχονται τὴν κατήφειαν. Ὅτι δὲ ψυχῆς πρόσωπον ἔ[σ]τιν, φησὶν τὸ λόγιον· "6Σοφία ἀνθρώπου φωτιεῖ πρόσωπον αὐτοῦ"6, κ[α]ὶ "6Ἀνακεκα- λυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμεθα"6, 123 τοῦ αἰσθητοῦ προσώπου σημαινομένου ἐν τῷ "6καρδίας εὐφραινομένης πρόσωπον ἱλαρόν, ἐν λύπαις οὔσης σκυθρω- πάζει"6, ὅπερ τῷ Κάιν συμβέβηκεν ὑπὸ τοῦ συνειδότος ἐλεγχομένῳ. ιη, 6–7. Καὶ εἶπεν Κύριος ὁ Θεὸς τῷ Κάιν· Ἵνα τί περίλυπος ἐγένου, καὶ ἵνα τί συνέπεσεν τὸ πρόσωπόν σου; Οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες. Ἡσύχασον. Πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ καὶ σὺ ἄρξ[ει]ς αὐτοῦ. Φιλανθρωπία τοῦ Θεοῦ [τ]ῶν ὅλων ὑπερβάλλουσα δείκνυται, ὅτι καὶ τοῖς σφαλλομέν[ο]ις διαλέγεται, μὴ ἐῶν αὐτοὺς βυθίζεσθαι ταῖς ἁμαρ[τίαι]ς, ἀλλὰ διεγείρων πρὸς τὸ συναισθομένους ἐπὶ τὴν [ἀρε]τὴν ἐπιστρέψαι, ὅπερ καὶ νῦν ἐπὶ τοῦ Κάιν γίνεται, λ[έγο]ντος αὐτῷ τοῦ Θεοῦ κατὰ τὸ ἐνηχεῖν ἐν διανοίᾳ· "6Ἵν[α τί] π̣ερίλυπος ἐγένου;"6, σαυτῷ τούτου παραίτιος γέγονας καὶ ο[ὐχ ἕ]τερος τοῦ ἁμαρτήματος πρόφασις ὑπῆρξεν. Ὑποτ[ί- θε]ται δὲ καὶ τὸν τρόπον τοῦ σφάλματος λέγων· "6Οὐκ [ἂν ὀρ]θῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥ[μαρτε]ς."6 Ὅσοι γ[ὰρ] πρόνοιαν ἐφεστάναι μὲν τοῖς ὅλοις ἡγοῦντ[αι κ]αὶ διεξ[ά]γουσιν αὐτῶν τὰ πράγματα προσάγοντες εὐχαριστίαν [οἰ]κείως ποιοῦσιν, ἠμελημένως δὲ ταύτῃ χρώμενοι, ὡ[ς] τὰ μὲν τίμια ἑαυτοῖς φυλάττειν, προσάγειν δὲ τὰ εὐτελῆ, [οὗτ]οι κακῶς τῇ διαιρέσει κέχρηνται. Τοῦτ' αὐτὸ τοῦ Ἰσραὴλ π[οιο]ῦντος, ὁ προφητικὸς λόγος ἐπιτιμητικῶς καὶ ἐντρεπτικ[ῶς] φησιν· "6<Ἐὰν προσαγάγητε τυφλὸν εἰς θυσίαν, οὐ κακόν; καὶ ἐὰν προσα- γάγητε χωλὸν ἢ ἄρρωστον,> οὐ κακόν; Προσάγαγε αὐτὸ τ[ῷ] ἡγουμένῳ σου"6. Ἀλλὰ καὶ Ἀνανία καὶ Σαφφείρα ἐν ταῖς Πράξ̣εσιν τῶν ἀποστόλων, πολλῶν προσφερόντων 124 εἰς χρείας τοῖς δεομένοις, καὶ αὐτοὶ καθυπέσχοντο τιμὴν χωρίου, ἀφ' ἧς νοσφισάμενοι τὸ ἥμισυ τὸ ἕτερον προσήγαγον κακῶς τῇ διαιρέσει χρώμενοι, ὅπερ ἐλέγχων ὁ πρόκριτος τῶν ἀποστόλων τῷ πνεύματι κινούμενος ἔλεγεν· "6Οὐχὶ μένον σοὶ ἔμενεν καὶ πραθὲν ἐν τῇ σῇ ἐξουσίᾳ ὑπῆρχεν; Τί ὅτι ἔθου ἐν τῇ καρδίᾳ σου ποιῆσαι τὸ πρᾶγμα τοῦτο;"6 ὅπερ καὶ ἐνταῦθα τῷ Κάιν ὑπὸ Θεοῦ εἴρηται· "6Ἵνα τί περίλυπος ἐγένου καὶ ἵνα τί συνέπεσεν τὸ πρόσωπόν σου; Ο[ὐκ] ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτε."6 Ἁμαρ[τ]άνουσι γὰρ ὅσοι ὡς δεομένῳ τῷ Θεῷ προσάγουσιν, ἀγνοο[ῦν]τες τὸ εἰρημένον ἐν Ψαλμοῖς πρὸς αὐτοῦ τοῦ Θεοῦ· "6Μὴ φάγο[μ]αι κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι;"6 καὶ ἔτι· "6Ἐμά ἐστιν [πάν]τα τὰ θηρία τοῦ ἀγροῦ, κτήνη ἐν τοῖς ὄρεσιν καὶ βόες"6· ὑμεῖς μ[ὲν] γὰρ ὅσα εὐχείρωτα παρ' ἐμοῦ ἔχετε, ἐγὼ δὲ καὶ τὰ πάντα, [ὥσ]τε οὐ δεόμενος διετάξατο, ἀλλ' ἀπὸ τούτων συμβολικ[ῶς πα]ιδεύων ὡς οὐκ ἠμελημένως τῇ ἀρετῇ χρῆσθαι πρ[οσήκ]ει, ἀλλὰ τελείᾳ καὶ ὁλοκλήρῳ. Εἶτα, ἵνα μὴ προκόπτῃ τὸ κακόν, ἠ[ρεμ]εῖν ἀπ' αὐτοῦ παραινεῖ, ἵνα μὴ ἐπιτριβόμενον λύμην ἐργάσητ[αι χ]είρονα. Οὕτῳ καὶ τῇ Σίων λέγεται ἀτάκτως κινουμένῃ–τ[ο]ι[οῦ]- τον γὰρ [ὄνομ]α–· "6Στῆσον σεαυτὴν Σίων."6 Ἐπεὶ γὰρ τὸ λογικὸν [ζ]ῷον ἐνε[ργη]τικόν ἐστιν ἢ κακίαν ἢ ἀρετὴν ἐνεργοῦν, εἰκότω[ς], ὅτε κακ[ία]ν πράττει, οἰκεῖον αὐτῷ τὸ στῆσαι ταύτην, ἵν' οὕ[τω]ς ἡ ἀρετὴ χώραν εὕρῃ τὴν πρέπουσαν. Τοῦτό τοι καὶ Δαυὶδ [πα]ραινεῖ· "6Ἔκκλινον ἀπὸ κακοῦ"6 λέγων "6καὶ ποίησον ἀγαθόν."6 "6Ἡσ[ύχ]ασον"6 οὖν, φησίν, μὴ πρόκοπτε τῷ κακῷ, μὴ διὰ τῆς κατηφεί[ας] λογίζου ὡς οὐ δεόντως οὐ προσεδέχθη σου ἡ θυσία. Πολλο[ὶ γ]ὰρ πολλάκις αὐτοὶ σφαλλόμενοι καὶ διὰ τοῦτο μὴ ἔχοντες εἶτα καθ' ἑαυτοὺς συνεργὸν τὸν Θεὸν δυσαρεστοῦνται τῇ προν[οί]ᾳ, ὅπερ κωλύει Θεὸς ἐπὶ τοῦ Κάιν λέγων· "6Ἡσύχασον."6 125 Ἐπάγει δὲ [κ]αὶ τὸ "6πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ καὶ σὺ ἄρξεις αὐτοῦ"6, παιδεύων ὡς ὅσα οὐ κατὰ τὸ πρέπον προσάγεται Θεῷ,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ταῦτα οὐκ αὐτῷ προσφέρεται, ἀλλὰ τοῦ δεδωκότος ἐστὶν ὑποστρέφοντος πρὸς αὐτὸν διὰ τὸ μὴ εὑρηκέναι χώραν ἐν Θεῷ. Οὕτω καὶ οἱ ἐλεημοσύνην παρέχοντες πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις ἀπέχουσιν ἑαυτῶν τὸν μισθόν, οὐδὲν ἀπὸ Θεοῦ ἔχοντες· οὐ γὰρ θείῳ [σ]κόπῳ τοῦτ' ἐποίησαν. Ὅλη μὲν οὖν ἡ τοῦ ῥητοῦ διή[γη]σις ὠφελιμωτάτη πρὸς ἦθος καὶ οὕτω ψιλῶς λαμβανομ[έ]νη, παιδεύουσα γνησίως τὰς προσφορὰς καὶ μὴ ἠμελημένως ποιεῖσθαι· ἐπειδὴ δὲ ἐν τοῖς φθάσασιν εἰς τρόπους ψυχῆς ἀ[νη]γάγομεν τὰ προειρημένα, ἀναγκαῖον καὶ νῦν τοῦτο ποιῆσ[αι]. Ὁ λόγος τοῦ Θεοῦ ὁ κατὰ τὰς κοινὰς ἐννοίας ἐνυπάρχων, τῇ συνειδήσει τε παρών, κηδεμονικῶς ἐλέγχει τοὺς σφα[λ]λομένους, ὅπερ καὶ νῦν παρίσταται. Οἱ γὰρ ὑποκριταί, ὅσον μὲν εἰ[ς] τὸ τιμίαν δεικνύναι τὴν ἀρετήν, εἰ καὶ μὴ αἱροῦνται αὐ[τήν], ὀρθόν τι δοκοῦσιν ποιεῖν· ἐπειδὴ δὲ τῇ διαιρέσει φαύλω[ς χρ]ω῀νται, τὸ μὲν ἀπὸ τοῦ βάθους τῆς διανοίας κίνημα προ̣ὰς τὰς ἑ[αυτ]ῶν ἡδονὰς ἄγοντες, τὸ δὲ τῆς ἐξωφανείας δ[ῶρον] διὰ Θεοῦ ποιεῖν σχηματιζόμενοι, εἰκότως οὐκ εἴσι δε[κτοί], τὸ ἔξω[θ]εν τοῦ ποτηρίου καθαρίζοντες καὶ ἔξωθεν μὲν προ[βά]του δορὰ[ν] περιβαλ- λόμενοι, ἔσωθεν δὲ ὄντες λύκοι ἅρπαγες· τοῖς τοιούτ[οι]ς ἐλέγχων ὁ Κύριος ἔλεγεν· "6Τί παρομοιάζετε τάφοις κεκονι[αμ]ένοις· ἔσωθεν γέμουσιν ὀστέων νεκρῶν καὶ πάσης ἀκαθ[αρ]σίας."6 Ἀλλ' οἱ ἐνάρετοι, ὅλοι δι' ὅλων ὄντες Θεοῦ καὶ διαθέσει καὶ π[ρ]α̣΄ξει, καὶ τὰ ἀνθρώπινα, ἃ δὴ τῆς σωματικῆς ἀνάγκης ἕνεκ[εν] εἰς αὐτοὺς ὅρα, καὶ αὐτὰ σοφῶς ἐπιτελοῦντες, ὀρθῶς τῇ π[ρο]σαγωγῇ τῇ πρὸς Θεὸν χρῶνται, καὶ τῷ σώματι καὶ τῇ ψυχῇ καθα[ρ]ότητος ἐπιμελόμενοι, ὧν τύπος ὁ Ἄβελ ὑπάρχει 126 ἄρχοντα καὶ προστάτην τὸν Θεὸν τῶν ἑαυτοῦ πράξεων τιθέμενος. Τοῦτο γὰρ ἐναρέτου ἴδιον, τῆς πράξεως τοῦ ὑποκριτοῦ ὑποστρεφούσης ἐπ' αὐτόν· Θεὸς γὰρ τὸ βάθος τῆς διανοίας ἐνορῶν οὐχ ὑποδέχεται τὰ παρ' αὐτοῦ τοιούτου ἐνεργούμενα. ιη, 8. Καὶ εἶπεν Κάιν πρὸς Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ. Διέλθωμεν εἰς τὸ πεδίον· καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτοὺς ἐν τῷ πεδίῳ καὶ ἀνέστη Κάιν ἐπὶ Ἄβελ τὸν ἀδελ[φ]ὸν αὐτοῦ καὶ ἀπέκτεινεν αὐτόν. Ἡ κατ' ὀλίγον ἐπίδοσις τῆ[ς κ]ακίας μὴ ἐμποδιζομένη εἰς ἀμετρίαν φθάνει, καὶ κρυπτο΄[μ]ενον ἁμάρτημα τῇ διανοίᾳ, ἐπὰν μὴ ἀπὸ λογισμοῦ κω[λ]υθῇ, ἀποτελέσει τὰ τῆς ἐνεργείας, κἂν δόξῃ πρὸς βραχὺν [ἀ]ναμένειν χρόνον. Τοῦτ' αὐτὸ ἐν ταῖς Πράξεσι τῶν ἀποστ[ό]λων φέρεται· τοῦ γὰρ ἡγέμονος πλεῖστα ὅσα παρὰ τοῦ Παύ[λο]υ ἀκούσαντος περὶ τῆς διδασκαλίας τῆς θείας καὶ ἐμφό[βο]υ γεγενημένον, ἐνέκειτο πάλιν τὸ τῆς φιλαργυρίας [π]ά[θ]ος· φησὶν γὰρ τὸ συγγραφικὸν Πνεῦμα ὡς ἔφη πρὸς Παῦλον· "6[Και]ρὸν ἔχων μεταπέμψομαί σε"6, ἅμα καὶ προσδοκῶν χρ[ήμα]τα παρ' αὐτοῦ λαβεῖν. Τοιοῦτόν τι καὶ ὁ ἀλάστωρ Κάιν [πάσχ]ει· μετ[ὰ γ]ὰρ τὸ ἐντραπῆναι ὀλίγον ἐνίσχων τρέφει [τ]ὸν φθόν[ον ἐν] τῇ διανοίᾳ καί φησιν πρὸς τὸν ἀδελφὸν με[τ]ὰ δόλο[υ· "6Δι]έλθωμεν εἰστὸ πεδίον"6· καὶ διελθὼν οὐκ ἀφῆκ[εν] τὸν θυ[μό]ν, ἀλλ' ἐπιθέμενος ἀναιρεῖ τὸν ἀδελφόν. [Τι]νὲς καὶ ταῦτα ζητεῖν θέλοντές φασιν· Τίνι ἀμυντηρ[ίῳ] χρησάμενος ἀνεῖλεν τὸν Ἄβελ; Οὐδὲν δέ τοι τὸ ἄπ[ορ]ον· καὶ γάρ, εἰ καὶ μὴ σιδήρῳ, ἀλλὰ γοῦν ἢ λίθῳ ἢ ξύλῳ τοῦ[το] οἷόν τε ἦν γενέσθαι, ὃ καὶ ἡ βίβλος τῆς διαθήκης ἠν[ίξ]ατο. Σφαγὴν δὲ ὁμῶς ἡ γραφὴ τὴν ὁπωσδήποτε γινομ[έ]νην ἀναίρεσιν εἶναί φησιν, ὡς δηλοῦται ἐν τῇ ἐπιστολῇ τῇ Ἰωάννου· "6Καθὼς 127 Κάιν ἔσφαξεν τὸν ἀδελφὸν αὐτοῦ, ὅτ[ι τ]ὰ ἔργα αὐτοῦ πονηρὰ ἦν, τὰ δὲ τοῦ ἀδελφοῦ αὐτοῦ δίκαια"6. Τ[ὸ] δὲ "6ἀνέστη Κάιν ἐπὶ Ἄβελ"6 καὶ τὴν ἐπίθεσιν ἅμα καὶ τὴν ἑκ[ού]σιον ὁρμὴν δηλοῖ. Ταῦτα μὲν οὖν ὁ τῆς ἱστορίας περιέχει λόγο[ς]· ἐπειδὴ δὲ τρόπον ὑποκριτὴν ἐφάσκομεν εἶναι τὸν Κά[ι]ν κατὰ τὸν τῆς ἀναγωγῆς λόγον, τοιαῦτα ἂν εἴη καὶ [τὰ] νῦν. Ἀδελφός ἐστι τοῦ φαινομένου ἔξω ἀνθρώπου [ὁ κ]ρυπτ[ὸς] καὶ ἐν διανοίᾳ ἄνθρωπος· ἀμφοτέρων γὰρ τὸν σπουδ[αῖο]ν ἐπι[μ]έλεσθαι προσήκει, καὶ ὀρθά τε λογιζόμενον καὶ σ[τολι]σμὸν [ο]ἰκεῖον τοῖς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τρόποις ἐπιδεικνύμενον, ὅπερ καὶ ὁ ψαλ[μ]ῳδὸς [π]αιδεύων ἐν πρώτῳ ψαλμῷ φησιν· "6Μακάριος ἄνη[ρ ὃ]ς οὐκ ἐ[π]ορεύθη ἐν βουλῇ ἀσεβῶν"6, καὶ μετ' ὀλίγα· "6ὃ τὸν καρπὸ[ν] αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυ[ήσε]ται"6, καρπὸν μὲν λέγων τὴν ἀπὸ διαθέσεως ἐνάρετο[ν πρ]ᾶξιν, φύλλον δὲ <τ>ὸ ἔξωθεν κατάστημα, ὃ ἐν σχήμα[τι κα]ὶ στολισμῷ καὶ μειδιασμῷ ὀδόντων διαφ[αίν]εται. [Ἐπὰ]ν οὖν ὁ ὑποκριτὴς ταῦτα σπουδάζῃ, τοῦ λογ[ισμοῦ] δὲ αὐτ[οῦ] διεστραμμένου τυγχάνοντος, τὸν ἀδελφ[ὸν σ]φάτ- τ[ει], ἀσύμφωνον τὴν διάνοιαν τοῖς ἔξωθεν ἔχων. [Π]εδιὰς δ[ὲ] τούτῳ ἡ κατὰ τῶν ἀπατωμένων μηχανή, εἰ'[ς] ἣν χωρῶ[ν] τῇ κατ' ἐκείνων ἀπάτῃ ἑαυτὸν πρότερον εἰς ἁμαρτίαν ἄγε[ι]. Τοιοῦτοι δὲ καὶ οἱ σοφισταὶ τυγχά- νουσιν, πεδια̣'δι τῇ λέξε[ι] χρώμενοι, δι' ἧς εἰς ἀσέβειαν περιάγουσιν τοὺς ἑαυτῶ[ν ἀ]δελφούς. ιη, 9. Καὶ εἶπεν Κύριος ὁ Θεὸς πρὸς Κάιν· [Πο]ῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου; Ὁ δὲ εἶπεν· Οὐ γιγνώσκω· μ[ὴ] φύλαξ τοῦ ἀδελφοῦ μού εἰμι ἐγώ; Ὁ φιλάνθρωπος Θεὸς καὶ τ[οὺ]ς πάντῃ ἀλλοτριωθέντας 128 αὐτοῦ διὰ πολλὴν ἀγαθότητα πάλιν ἐπισκέπτεται καὶ διὰ τῆς ἐπισκέψεως εἰς αἴσθησιν διεγε̣ίρει, ὅπερ καὶ νῦν ἐπὶ τοῦ Κάιν ποιεῖ, πρῶτον μὲν ἐνιεὶς αὐτῷ τοὺς ἀπὸ τῆς συνειδήσεως λόγους, ἔπειτα καὶ δ[ι]ὰ τοῦ εἰπεῖν "6Ἄβελ ὁ ἀδελφὸς"6 ὥσπερ βαρύνει αὐτὸν τῇ προσηγορίᾳ τῆς φύσεως καὶ ἄγει εἰς συναίσθησιν τοῦ μιάσμα[το]ς. Μέγεθος παρίσταται τ̣οῦ τολμήματος, ὅτι καὶ ἀπέκτει[ν]εν κ[αὶ] ἀδελφὸν καὶ δίκαιον ἀδελφὸν, ὃν δι' ἐπικουρίαν καὶ [β]οή- θε[ιαν] ὁ Θεὸς πεποίηκεν, ἀνελών. Τοῦτο γὰρ τὸ λόγιόν φησιν· "6Εἰς πά[ντ]α̣ καιρὸν φίλος ὑπαρχέτω σοι, ἀδελφοὶ δὲ ἐν ἀνάγκ[α]ις χρή[σι]μοι ἔστωσαν· τούτου γὰρ χάριν γεννῶνται"6. Τὴν γ[ὰ]ρ αἰτί[αν] τῆς τῶν ἀδελφῶν ὑποστά- σεως ταύτην ὁ λόγος ὑπο[σ]ημαίν[ει]. Ἑνωτικὴ γὰρ ὑπάρχουσα ἡ θεία διοίκησις διὰ πάντων τοῦ[το π]οιεῖ. Ἀμέλει καὶ ἐν τῷ νόμῳ ἀρκούσης τῆς ἀδελφικῆς δια- θέ[σ]εω[ς] καὶ τῶν σφόδρα ἐγγὺς εἰς ἕνωσιν, τούτους μὲν οὐ συγχωρεῖ γ[άμ]ῳ συνάπτεσθαι, ἄλλας δὲ παρὰ τὰς ἀδελφὰς καὶ τὰς πλη[σίον] ἐπιτρέ[π]ει, ἵνα διὰ τούτων ἐπισυνάγηται καὶ ἀπὸ ἄλλων σ̣[···]η καὶ δι[ά]θεσις, ἅπερ ἐπάτησεν Κάιν. Ἰδεῖν γὰρ αὐτοῦ καὶ τ[ὴν ὑ]πόκρισ[ιν ἔ]στιν λέγοντος μετὰ ἀπονοίας· "6Οὐ γινώσκω· μὴ φύ[λα]ξ τοῦ ἀ[δελφ]οῦ μού εἰμι ἐγώ;"6 Διὰ μὲν γὰρ το<ῦ> "6Οὐκ οἶδα"6 τὸ θρασὺ δ[εί]κνυτ[αι], ὅ]τι ᾠήθη Θεὸν λανθάνειν, διὰ <δὲ> τοῦ "6Μὴ φύλαξ;"6 τὸ α̣'δ̣ι̣άθετον [κα]ὶ ἀνήμερον καὶ διὰ τοῦτο ἀδιανόητον δηλοῦτα[ι· φ]ύλακα γὰρ αὐτὸν τοῦ ἀδελφοῦἔπρεπεν εἶναι. 129 ιη, 10–12. Καὶ εἶπεν ὁ Θεός· Τί ἐποίησας; Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρὸς μὲ ἐκ τῆς γῆς. Καὶ νῦν ἐπικα- τάρατος σὺ ἀπὸ τῆς γῆς, ἣ ἔχανεν τὸ στόμα αὐτῆς δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου ἐκ τῆς χε̣ιρός σου, ὅτι ἐργᾷ τὴν γῆν καὶ οὐ προσθήσει τὴν ἰσχὺν αὐτῆς δοῦναί σοί· στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς. Καὶ ἀναισχυνοῦντα διδάσκει ὁ φιλάνθρωπος, καὶ οἰόμενον λανθάνειν Θεὸν παιδεύει ὡς [το]ῦτο ἀδύνατον· "6Φωνή"6 φησιν "6αἵματος τοῦ ἀδελφοῦ σου [β]οᾷ πρὸς μὲ ἐκ τῆς γῆς"6, μὴ νόμιζε τὸν ἀκοίμητον ὀφ[θα]λμὸν τῆς προνοίας διαπεφευγέναι τὸ μίασμα. Φωνὴ[ν] δὲ αἵματος τὴν φανέρωσιν λέγει ὡς καὶ ἑτέρωθι· "6Ἰδοὺ ὁ μισθὸς τῶν ἐργατῶν τῶν ἀμησάντων τὰς χώρα[ς] ὑμῶν ὁ ἀπεστερημένος ἀφ' ὑμῶν κράζει"6. Καὶ οὕτω[ς] γ[ὰ]ρ ἐκληπτέον, δυνατὸν δὲ καὶ τὸ αἷμα ἀντὶ τῆς ψυ[χῆς] ἐνταῦθα εἰρῆσθαι. Λέγοι δ' ἄν τις ὅτι διὰ τοῦ<το> αἵματος ἐμνήσθη, ὅτι τὸ σῶμα ἔκρυψεν. Ἐκχύ[σεως] δὲ μνημονεύει καὶ ὡς ἡ γῆ ἔχανεν τὸ στόμα α[ὐτῆς] δέξασθαι τὸ αἷμα καὶ ἀδελφοῦ συνεχῶς, ἵνα μεγ[εθύ]νων [τὸ] πραχθὲν καταιδέσῃ τὸν ὠμόθυμον. Ἐπ[άγ]ει δὲ αὐτ[ῷ] καὶ ἀρὰς εἰκότως τοσοῦτον ἐργα- σαμένῳ [λ]έγω<ν>· "6Καὶ ν[ῦν] ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς, ὅτι ἐργᾷ τὴν [γ]ῆν καὶ οὐ πρ[ο]σθήσει τὴν ἰσχὺν αὐτῆς δοῦναί σοι."6 Πολλάκ[ι]ς γὰρ διὰ τα̣'ς τῶν ἀνθρώπων ἁμαρτίας ἡ τῆς γῆς ἔνδεια συμβαίνει τοὺς καρπ̣οὺς οὐκ ἀποδιδούσης κατὰ τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰρημένον· "6[Π]ενθήσει ἡ γῆ διὰ τοὺς κατοικοῦντας ἐν αὐτῇ."6 Δέδο[τ]αι γὰρ αὐτὴ ἐπὶ τῷ ἐκφέρειν καρποὺς τοῖς ἀδιάστρο[φ]ον μὲν τηροῦσι τὸν λογισμόν, φιλανθρωπίᾳ δὲ Θεοῦ κ[αὶ] τοῖς σφαλλομένοις 130 παρέχει τὰ ἀναγκαῖα, προστάγματι πάλιν αὐτοῦ τῶν ἀπ' αὐτῆς ἐκλειπόν[των] καρπῶν, ἵν' ἐπιστροφὴ γένηται. Εἴη δὲ πρὸς ἀναγωγήν, ἑπομένων ἡμῶν τοῖς πρώτοις, αἰτιώμενος τὸν ὑποκριτὴν ὁ Θεός, ὅτι τὴν ζωτικὴν δύναμιν τῆς ψυχῆς διαστρέφει, ἀδελφὸν οὖσαν τοῦ ἔξω ἀνθρώπου, ὡς εἴρηται. Διὸ καὶ ἐπικατάρατος ἔσται, μηκέτι παρέχουσα καρπούς, ἀλλὰ τὴν ἐντρέχειαν ἐπὶ χρησίμῳ παραπολλύουσα, ἵν' ἐκ τούτου <εἰς> τὴν τῆς ἀρετῆς ἀρχὴν καταβάληται· [χρ]ήσιμον γὰρ καὶ τὸ διαστραφῆναι πονηρίαν, τῶν ἀπ' αὐτῆ[ς ̈]τελῶν μὴ ἐπιτυγχανομένων, ἵνα κόπος ἐγγενόμε[νος] ἔρωτα τῆς ἀρετῆς ἐμποιήσῃ κατὰ τὸ εἰρημένον· "6Ἐκοπίασεν Αἴγυπτος, καὶ ἐμπορία Αἰθιόπων καὶ οἱ Σαβαεὶμ ἄνδρες ὑψηλοὶ ἐπὶ σὲ διαβήσονται"6. "6Στένων"6 δὲ "6κα[ὶ] τρ[έ]μων ἐπὶ τῆς γῆς"6 ἔσται, οὕτω κρινόμενος, ἀεὶ ὑπὸ τοῦ συνειδότος ἐλεγχόμενος. ιη, 13–14. [Καὶ] εἶπεν Κάιν πρὸς Κύριον τὸν Θεόν· Μείζων ἡ α[ἰ]τία μου τοῦ ἀφεθῆναί με· εἰ ἐκβάλλεις με σήμερον ἀπὸ προσώπου τῆς γῆς καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι· καὶ ἔ[σομαι σ]τένων καὶ τρέμων ἐπὶ τῆς γῆς, καὶ ἔσται, πᾶς ὁ εὑρίσκ[ων] με ἀποκτενεῖ με· Ἔγκειται καὶ τοῖς ἀλλοτριοῦσιν ἑ[α]υτοὺς το[ῦ] Θεοῦ λόγος, καθ' ὃν περὶ Θεοῦ αὐτοῦ ὡς φιλανθρώπου καὶ ἀγαθοῦ [ἀν]αλαμβάνουσιν· καὶ οὐχ οἷόν τε ἐκκεκόφθαι ταύτην ἀγαθ[ὴ]ν τὴν ἔννοιαν, κἂν διὰ βάθος κακίας δυσαρεστῶνται π[ο]λλάκις. Αὐτίκα γοῦν εἰς ἀνάγκην περιστάντες οἱ πάν[τως] Θεοῦ ἀμνήμονες ἐπὶ λιτὰς καὶ ἱκεσίας καταφεύγ[ου]σιν, ὅπερ καὶ ἐπὶ τοῦ Κάιν θεωρεῖται. Ὡς γὰρ ἐπιλήσμων [Θεοῦ] ἐπὶ τὸν τοῦ ἀδελφοῦ φόνον 131 ὁρμήσας καὶ μετὰ θράσους [ὑ]ποκρινάμενος αὐτῷ ἐρωτή- σαντι· "6Ποῦ Ἄβελ ὁ ἀδελφός σου;"6, ἅτε δὲ μήπω πλείστης ἐν ἀνθρώποις διαστροφῆς ὑπαρχούσης, γνοὺς ἐκ τῶν τοῦ Θεοῦ λόγων, ὧν διὰ τοῦ ἐλέγχου ἔμαθεν τῶν ἐν τῷ συνειδότι γεγενημένων, ὡς ἀναπόδραστός ἐστιν ὁ τοῦ Θεοῦ ὀφθαλμός, δέεται αὐτοῦ μὴ εἰς παντὴ ἀλλοτρίω- σιν αὐτοῦ τοῦτον περιστῆσαι, ἐξ οὗ στένειν τε καὶ τρέμειν συμβήσεται καὶ ὑπὸ παντὸς τοῦ εὑρίσκοντος αὐτὸν προσ- δοκᾶν ἀναίρεσιν. Ὁ γὰρ πεπεισμένος ὡς ἡ σκεπαστικὴ δύναμις τοῦ Θεοῦ ἀπ' αὐτοῦ ἀπέστη πάντα τὰ ἄλλα φοβερὰ λογίζεται κ̣αὶ ἐπ' οὐδενὶ τῶν ὑφ' ἑαυτοῦ πραττο- μένων θαρρεῖ. Καὶ ταῦτα μὲν ἡμῖν εἴρηται εἰς τὴν ὅλην περίνοιαν τῆς τοῦ Κάιν ἀποκρίσεως· ἴδωμεν δὲ καὶ τὴν ὑποσυγκεχυ- μένην αὐτοῦ ἀπόκρισιν, ἅτε φαύλου καὶ οὐ μετέχοντος θεία[ς] χάριτος. "6Μείζων"6 φησίν "6ἐστιν ἡ αἰτία μου τοῦ ἀφεθῆναί με"6, ὅπερ εἴη δηλοῦν κατὰ πρώτην διάνοιαν ὅτι μεῖζον ἔσται μου τὸ κ[ακό]ν, μὴ ἐπεξερχομένου σου, ὦ̣ Θεέ, τῇ κατ' ἐμο[ῦ ἀ]δικίᾳ· ἔτι γὰρ ὑπὸ κηδεμονίαν ὑπάρχοντός ἐστ[ι τ]ὸ μὴ ἀ̣παγορεύεσθαι. Τοῦτ' αὐτὸ ἐν τῷ προφήτῃ ἐπὶ τῶν ἀξίων καταφρονήσεως καὶ εἰς ἀδόκιμον νοῦν παραδοθέντων λέγεται πρὸς τοῦ Θεοῦ· "6Οὐ μὴ ἐπισκήψομαι ἐπὶ τὰς θυγατέρας αὐτῶν, ὅταν πορνεύωσιν, καὶ ἐπὶ τὰς νύμφας αὐτῶν, ὅταν μοιχεύωσιν. Ὅτε μὲν γὰρ ἁμαρτάνοντας ἐπιστρέψαι οἵους τε ὄντας π̣αιδεῦ̣σαι βούλεται, φησίν· "6Ἐπισκέψομαι ἐ̣ν ῥάβδῳ 132 τὰς ἀνομίας αὐτῶν καὶ ἐν μάστιξιν τὰς ἁμαρτίας αὐτῶν, τὸ δὲ ἔλεός μου οὐ μὴ ἀποστήσω ἀπ' αὐτῶν."6 Ὅ τι δὲ νῦν φησιν, τοῦτ' ἔστιν ὅτι μείζων μου ἡ μέμψις ἔσται, σοῦ, Κύριε, μὴ ἐπεξίοντος, ὡς εἴρηται· ὡς δὲ ἐσφαλμένος καὶ διαστροφὴν παθὼν οἴεται ὅτι τῆς γῆς ἐκβεβλημένος καὶ τοῦ προσώπου τοῦ Θεοῦ ἐκβληθήσεται. Κατὰ δὲ ἑτέραν διάνοιαν εἴη ἂν λέγων ταῦτα, ὅτι μεῖζόν μοι ἔσται κακόν, εἰ παραμένοιμι ἐν τῇ γῇ, σοῦ, ὦ Θεέ, μὴ ἀπολλύοντός με εἰς ἀνυπαρξίαν· εἰ γὰρ ἐκβάλλοις με ἀπὸ τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι μηκέτι ὑπάρχων, ὅπερ εὐκτὸν αὐτῷ ὑπῆρχεν, ἐπειδὴ δὲ οὐκ ἐκβάλλεις με ἀπὸ τῆς γῆς–τοῦτο γὰρ προσυ- πακούειν δεῖ–, ἔσομαι στένων ἐν αὐτῇ καὶ τρέμων,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παν[τ]ὸ̣ς τοῦ εὑρίσκοντός με ἀποκτενο<ῦ>ντος. Ὅτι δὲ οἱ πολλοί, ἐ[πειδὰ]ν γιγνώσκωσιν ἑαυτοῖς ἀμετρίαν σφαλμάτων, ἔχον[τές] πως ἔννοιαν ὡς μετελεύσεται αὐτὸς ὁ Θεός, αἱρετὸν [ἡγ]οῦνται τὸ μὴ εἶναι, ἀναισθησίαν παθῶν τοῦ ὑπάρχειν προτιμῶντε<ς>, εἴη ἂν σαφὲς ἐκ τοῦ εἰρημ[ένου] ὑπὸ τοῦ προφήτου περὶ τῶν προδότων Ἰησοῦ· "6Θελήσουσ[ιν ε]ἰ ἐγενήθησαν πυρίκαυστοι."6 Καὶ ἑτέρως δ' ἂν ἐπιβάλοι λέγον[τ]ος αὐτοῦ· "6Εἰ ἐκβάλλεις με"6, "6σήμερον"6 δ' αἰτοῦντος τόπον μετανοίας ἵν' ὑπερτεθῇ τὸ νῦν, "6σήμερον"6 εἰρημένον. Ἐβούλετο δὲ καὶ τέλει τῷ καλουμένῳ "6ἰδίῳ"6 πρὸς τοῦ Θεοῦ περιπεσεῖν, ἵνα μὴ παντὶ τῷ εὑρίσκοντι εἰς ἀναίρεσιν ὑποκείμενος ᾖ. Ἐρωτήσειεν ἂν τίνα δήποτε ἐδεδίει ὁ Κάιν εὑρήσοντα αὐτὸν καὶ ἀποκτενοῦντα, μηδενὸς ὅλως πλὴν αὐτοῦ καὶ τῶν τοκέων ὑπάρχοντος· π[ρὸ]ς ὃν εἴποι τις ὅτι πρῶτον μὲν ἔννοιαν ἔχων ὡς διαδοχῆς ἐσομένης ἀνθρώπων, ἐφοβεῖτο μὴ ὡς τοσοῦτον μίασμα ἐργασάμενος ὑπὸ τῶν ἐσομένων ἀναιρεθῇ ὡς βδελυκτὸς, τοῦ τοσούτου ἄγους 133 ἐ̣πὶ καὶ τῶν γεννησομένων διαβαίνοντος, ἔπειτα δέ, εἰ καὶ μὴ τοῦτο, θείας δυνάμεις ἐτόπαζεν ἐκδίκους ἔσεσθαι τῆς ἀνοσιουργίας, ἃς εἰκὸς αὐτὸν καὶ ἑορακέναι μήπω τῆς κακίας κεχυμένης. Τὰ δὲ πρὸς ἀναγωγήν #561 ιη̣, 15. Καὶ εἶπεν αὐτῷ Κύριος ὁ Θεός· Οὐχ οὕτως· πᾶς ὁ ἀποκτείνας Κάιν ἑπτὰ ἐκδικούμενα παραλύσει. Καὶ ἔθετο Κύριος ὁ Θεὸς σημεῖον τῷ Κάιν τοῦ μὴ ἀνελεῖν αὐτὸν παντὰ τὸν εὑρίσκοντα αὐτόν. Ἐπὶ μείζονα κόλασιν ἢ κατὰ τὴν ὑπόνοιαν τοῦ Κάιν τὴν ὅτι πᾶς ὁ εὑρίσκων αὐτὸν ἀποκτενεῖ αὐτὸν φυλάττων, τὸν τοῦ ἰδίου ἀδελφοῦ φονέα γεγενημένον, φησὶν ὁ Θεός· "6Οὐχ οὕτως"6· ἔστιν οὐχ αὕτη σο[υ] ἁρμόνιος ἡ δίκη τοῦ πλημμελήματος τὸ ὑπὸ ὁτουοῦν ἀναιρεθῆναι. Οὗτος γὰρ ἑπτὰ ἐκδικούμενα παραλύσειε, ὅπερ δηλοῖ τὴν τελείαν τιμωρίαν. Πολλάκις γὰρ ὁ ἑπτὰ ἀριθμὸς ἐν τῇ γραφῇ ἀντὶ τελειότητος παρείλημπται· τοῦτο δηλοῦται ὑπὸ τοῦ [λε]γομένου· "6Ἑπτὰ ὀφθαλμοί εἰσιν ἐπιβλέποντες ἐπὶ π[ᾶ]σαν τὴν γῆν"6· οὐ γὰρ δὴ σῶμά ἐστιν ὁ Θεός, ἵνα καὶ ὑπὸ τὸν ἑπτὰ ἀριθμὸν οἱ ὀφθαλμοὶ αὐτοῦ τυγχά- νωσιν, ἀλλὰ δῆλον ὡς τὴ[ν ἐ]ποπτικὴν αὐτοῦ δύναμιν πληρεστάτην καὶ μεγ[άλη]ν εἶναι διδάσκει. Ἄλλοι δὲ εἶπον ὅτι, ὥσπερ ὁ τοῦ [Σ]ωτῆρος ἄνθρωπος ἔσχεν ἑπτὰ πνεύματα ἐπαναπαυσόμενα, "6[π]νεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας, πνεῦμα φόβου Θεοῦ"6, οὕτως ἕκαστος ἄνθρωπος, πρὸ τῆς ἁμαρτίας ἀνὴρ τέλειος ὤν, εἰς ὃν καὶ καταντῆσαι ἡμᾶς ὁ ἀπόστολος διδάσκων φησίν· "6ἄχρι καταντήσωμεν πάντες εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ"6, ἔχων ταῦτα 134 ἐπανα<πα>υσόμενα, εἰ ἁμαρτήσοι, παραλύσει αὐτά, περὶ ὧν ἐκδίκησις γενέσθαι ὤφειλεν πληρεστάτη καὶ κατάλ- ληλος. Σημειωτέον δὲ ὅτι τὸ "6πᾶς ὁ ἀποκτείνας Κάιν"6 ἢ ἀντὶ κλητικῆς εἴρηται, ἀντὶ τοῦ "3ὦ Κάιν, πᾶς ὁ ἀποκτείνας"3, ἢ ἄλλοις περὶ αὐτοῦ, ἵν' ᾖ "3πᾶς ὁ τὸν Κάιν ἀποκτείνας"3, οὓς δυνάμεις τινάς τις ὁ λέγων οὐκ ἂν ἁμάρτοι. Ταῖς δ' αὐταῖς ταύταις "6σημεῖον"6 δέδωκεν "6τοῦ μὴ ἀνελεῖν αὐτόν"6, ὅπερ ἂν εἴη αὐτοῦ τοῦ Θεοῦ τὸ πρόσταγμα· οὐ γάρ τι τῶν τοιούτων κριμάτων χωρὶς συγχωρήσεως γίνεται. *** –ηυιτ λιγνες εν βλανξ– Σημεῖον ἔθετο τὴν μετὰ τὰ πταίσματα ῥο[πὴν τ]ῆς μετανοίας, καθ' ἣν οὐκ εὐχείρωτος ἔσται πρ[ὸς ἀν]αίρεσιν. Μέγα μὲν γὰρ ἀγαθὸν τὸ μὴ πταῖσαι· τὸ δὲ μ[ε]τὰ τὰ πταίσματα ἐν μεταγνώσει γενέσθαι δεύτερος ἂ[ν] εἴη λιμήν, ὅπερ οἰκονομῶν ὁ Θεὸς <διὰ> διδασκαλίας διεγείρει πρὸς τὸ μὴ ὑποπεσεῖν τῷ ἀπατεῶνι. Τοιαύτην τὴν διάνοιαν ὑποβάλλει τὸ ἐν ψαλμοῖς λεγόμενον· "6Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε"6, ὅπερ προσώπου φῶς τὸν Υἱὸν ἢ τὰς θείας ἔννοιας λέγων οἰκείως ἐρεῖς. Οὕτω γὰρ ἂν καὶ τὸ φυγεῖν ἀπὸ προσώπου τόξου 135 γενήσεται, τοῦ προσώπου τοῦ Θεοῦ ἐν ἡμῖν, ὡς εἴρηται, ὑπάρχοντος· καὶ τὸ ἑξῆς δὲ ἐπιφερόμενον βεβαιοῖ· "6Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου"6. Φιλανθρωπίᾳ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὖν καὶ ἀγαθότητι ὁ Θεὸς καὶ τοῖς μεγάλα σφαλλομένοις τόπον μετανοίας δίδωσιν, ἵνα πάλιν ἀνάλη<μ>ψις τῆς ἀρετῆς γένηται. ιῃ, 16. Ἐξῆλθεν οὖν Κάιν ἀπὸ προσώπου τοῦ Θεοῦ καὶ ᾤκησεν ἐν γῇ Ναῒν κατέναντι Ἐδέμ. Τὸ ἐξελθεῖν τὸν Κάιν ἀπὸ προσώπου τοῦ Θεοῦ οὐ τοπικῶς ἐκλαμβάνοντές φαμεν ὅτι πᾶς ἁμαρτάνων ἔξω Θεοῦ γίνεται, ἐπεὶ καὶ τὸ εἰσελθεῖν πρὸς τὸν Θεὸν οὕτω νοοῦμεν, λέγοντος τοῦ ψαλμοῦ· "6Εἰ[σ]έλθατε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει"6· εἰσέρχεται δέ τις ἐνώπιον Θεοῦ τὰ ἔξω πάντα καταλιπών, ἁμαρτήματά τε καὶ τὰ αἰσθητὰ πράγματα, καὶ ἄλλος τοῦ κόσμου γινόμενος, ἵν' οὕτως τῆς περὶ Θεοῦ γνώσεως μέτοχος γένηται. Λέγεται οὖν ἐνταῦθα· "6Ἐξῆλθεν Κάιν ἀπ̣[ὸ] προσώ- που Θεοῦ"6, καὶ οὐ λέγομεν ὅτι τόπος τίς ἐστιν, ἐν ᾧ ὁ Θεὸς ὑπάρχει, ἐν ᾧ Κάιν ὑπάρχων ἐξῆλθεν· ἀπερίγραφ[ος] γὰρ ὁ Θεὸς καὶ τόποις οὐχ ὑποκείμενος, εἰ καὶ ναὸς ὕστερον γέγο[νεν], συμβολικῆς λατρείας ὑπάρχων διδα- σκαλία. Ἐξῆλθεν οὖ[ν] Κάιν, ἀνάξιον ἑαυτὸν καταστήσας τοῦ προσώπου τοῦ Θεοῦ, ἀνεννόητος λοιπὸν αὐτοῦ γεγενη- μένος. Περὶ τῶν τοιούτων εἴρηται· "6Οὐκ ἔστιν ὁ Θεὸς ἐνώπιον αὐτοῦ"6, καὶ περὶ τῶν υἱῶν Ἠλὶ λέγεται· "6Υἱοὶ Ἠλὶ οὐκ εἰδότες τὸν Κύριον"6· καὶ γὰρ εἰ προσεκαρ- τέρουν τῷ ναῷ, ἀλλὰ τῇ διαθέσει καὶ τοῖς ἔργοις ἔξω ἐτύγχανον αὐτοῦ. Ὅτι δὲ Κάιν οὕτως ἐξῆλθεν, τὸ ἐπιφερόμενον παρί- στησιν· "6Καὶ ᾤκησεν"6 γάρ φησιν "6ἐν γῇ Ναῒν κατέναντι Ἐδέμ"6 "3Σάλος"3 γὰρ ἡ Ναῒν ἑρμηνεύεται· ποῦ γὰρ 136 ἔδει τὸν ἀποστάντα τῆς εἰρηνικῆς ἀρετῆς οἰκεῖν ἢ ἐν τῇ "3σάλῳ"3, ἀστάτῳ πράγματι καὶ ἀβεβαίῳ, ὅπερ ἐστὶν ἡ κακία; Εὖ δὲ καὶ τὸ κατέναντι· ἐναντία γὰρ τῇ ἀρετῇ ἡ κακία. Μεμνήμεθα τοίνυν ὡς, ὅτε διελαμβάνομεν περὶ τῆς ἐκβολῆς τοῦ Ἀδάμ, ἐσημειωσάμεθα ὅτι ἐκβέβληκεν αὐτὸν οὐκ ἀφ' ἑαυτοῦ ἐξελθόντα, ἀλλὰ ἔτι ἔχοντα ἔναυσμα πόθου τῆς διατριβῆς τοῦ παρ<α>δείσου τῆς τρυφῆς· διὸ καὶ κατέναντι τούτων αὐτὸν κατῴκισεν, οἷον αὐτὸς καὶ τὴν οἴκησιν οἰκονομήσας. Τοῖς γὰρ μὴ μεγάλα ἁμαρτάνουσιν, ἐπεὶ οὐ πόρρω ἡ ἀρετὴ ἐνυπάρχει, δίδοταί τις πρόφασις ταχεῖαν τὴν ὑποστροφὴν ὑποδεικνύουσα, πρὸς Θεοῦ διδο- μένη, ὅπερ ἐπὶ τοῦ Κάιν οὐκ εἴρηται. Οὔτε γὰρ κατῴκισται οὐδὲ ἐκβέβληται, προθύμῳ πόθῳ πρὸς τὸ κακὸν ἀπολι- σθήσας· διόπερ καὶ "3σάλον"3 οἰκεῖ, ἀδιαστάτως ταρατ- τόμενος, ἐπεὶ [τ]οῦτο ἐπόθησεν, τοῦ ἐναρέτου βεβαίου ὑπάρχοντος, διὰ [τὸ στ]άσιν ἔχειν ἰσχυράν, ὡς καὶ μετὰ Θεοῦ στῆναι δύνασθαι [κα]τὰ τὸ εἰρημένον· "6Σὺ δὲ αὐτοῦ στῆθι μετ' ἐμοῦ"6, καὶ ὑπὸ τοῦ [Σ]ωτῆρος περὶ τῶν θανάτου μὴ γευομένων· "6Εἰσί τινες τῶν ὧδε ἑστηκότων"6, οἵτινες ἦσαν οἱ γνώριμοι αὐτοῦ. Ἀ[λ]λὰ καὶ Παῦλος προτρέπων μὴ περιφέρεσθαι παντὶ ἀνα[ξί]ῳ διδασκαλίας γράφει· "6Στήκετε οὖν καὶ μὴ πάλιν ζυγῷ δουλείας ἐνέχεσθε"6· καὶ ὁ ψαλμῳδὸς δὲ εὐχαριστητικῶς φησιν· "6Ἔστησας ἐπὶ πέτραν τοὺς πόδας μου"6· περὶ δὲ τῶν φαύλων ὡς ἀεὶ ἐπιτριβομένων ἐν κακοῖς εἴρηται· "6Οὐ μὴ στῇ"6 ὁ σάλος τῶν ποδῶν αὐτῶν. Μέγα γὰρ ἁμάρτημα ἀεὶ ἐν τῷ κακῷ κινεῖσθαι, ὅπερ μὴ βουλόμενος ἐν τῇ Σιὼν εἶναί φησιν ὁ λόγος· "6Στῆσον σεαυτὴν Σιών"6· ὅπερ ἔχων ὁ μακάριος Δαυίδ, ἵνα μὴ αὐτοῦ ἐκπέσῃ, ἔψαλλεν· "6Καὶ χεὶρ ἁμαρτωλῶν μὴ σαλεύσαι με"6, ὅ ἐστιν· πράξεις ἁμαρτωλοῦ, τοῦ διαβόλου, μὴ 137 ἀποστήσῃ με ἀπὸ ἀρετῆς. ιῃ, 17. Καὶ ἔγνω Κάιν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκεν τὸν Ἑνώχ. Καὶ ἦν οἰκοδομῶν πόλιν, καὶ ἐπωνόμασεν τὴν πόλιν ἐπὶ τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἑνώχ. Ζητοῦσί τινες πόθεν ἔσχεν γυναῖκα ὁ Κάιν, οὐκ ὄντων ἄλλων ἢ τοῦ Ἀδὰμ καὶ τῆς Εὔας, ἐξ οὗ οἱ κακοῦργοι ἀδελφογαμίαν εἰσάγουσιν. Ἔδει δ' αὐτοὺς ἐννοεῖν ὡς οὐκ ἐκ τούτου ἀδελφογαμία εἰσάγεται. Εἰ μὲν γάρ, ἀλλῶν οὐσῶν, ἐκέχρητο τῇ ἀδελφῇ, πιθανὸς ἦν ὁ λόγος· εἰ δέ, μηδένος ὑπάρχοντος, πρὸς σύστασιν τῆς διαδοχῆς τοῦτο γέγονεν, ποῦ χώραν ἔχει ἀδελφογαμία, <οὐχ> οἵου τε ὄντος ἑτέρωθεν δέξασθαι πρὸς συζυγίαν; Φέρεται καὶ λόγος παρὰ τοῖς Στωϊκοῖς ζητούμενος ὡς, εἰ συμβαίη ἐκπύρωσιν γενέσθαι τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κόσμου καὶ ὑπὲρ τοῦ ζώπυρον παραμεῖναι τὸ τοῦ ἀνθρωπείου γένους μό̣νος σοφὸς μείνοι μετὰ θυγατρὸς ἐπιστάμενος ὅτι διακοσμηθήσεται πάλιν κόσμος, δι' ὃ καὶ χρεία διαδοχῆς, εἰ καθηκόντως χρήσηται τῇ θυγατρί· καὶ φαίνεται αὐτοῖς ὁ λόγος οὐκ ἀνοίκειος τῷ μὴ εἶναι ἄλλην. Τοῦτο φαίνεται καὶ περὶ τῶν θυγατέρων τοῦ Λὼτ γεγενημένον, ὃ οἱ φιλαίτιοι μὲν αἰτιάσονται, τῶν δὲ συνετῶν οὐδείς. Μὴ γὰρ οἰόμεναι ἄλλον ἄνδρα εἶναι διὰ τὴν γεγενημένην καῦσιν τῶν πόλεων ἐκείνων, ἀλλὰ καὶ προσλαβοῦσαι ὡς κόραι ὅτι πᾶσα ἡ γῆ τοιαῦτα ὑπέστη ἐμπρησθεῖσα, λέγουσι γοῦν· "6Ἰδοὺ ὁ πατὴρ ἡμῶν γεγήρακεν καὶ οὐκ ἔστιν ὃς εἰσελεύσεται πρὸς ἡμᾶς, καθὼς καθήκει πάσῃ τῇ γῇ, δεῦτε καὶ ποτίσωμεν τὸν πατέρα ἑαυτῶν οἶνον"6· καὶ ὅτι οὐκ ἐμπαθῶς τοῦτο πεποιήκασιν, ἀλλὰ ζώπυρον ὑπολιποῦσαι, συνελθοῦσα ἡ
138 μία προετρέψατο καὶ τὴν ἄλλην τοῦτο ποιῆσαι, ὅπερ οὐκ ἂν ἐποίει ταχέως, εἰ πάθει ἐδούλευεν, ἀλλὰ τῷ αὐτῷ τρόπῳ ὡς ἡ πρώτη ᾠκονόμησεν καὶ ἡ δευτέρα πεποίηκεν διαδοχῆς ἕνεκεν πλείονος. Οὐκ ἐγκλητέος οὖν ἐν αὐτοῖς ὁ Κάιν, εἰ καὶ ἐν πολλοῖς διεσφαλῇ. Σημειωτέον ὡς οὐκ εἶπεν· Ἔγνω Κάιν τὴν ἀδελφήν, ἀλλὰ τὴν γυναῖκα αὐτοῦ· αὕτη γὰρ ἡ προσηγορία τῆς διαδοχῆς οἰκεία. Ζητήσειεν ἄν τις πῶς, πέντε που ὀνομασθέντων ἀνθρώπων, τῶν γονέων τοῦ Κάιν καὶ αὐτοῦ καὶ τῆς γυναικός, πόλιν οἰκοδομεῖν λέγεται, πρᾶγμα πολυπληθείας δεομένου· ὁ δὲ τοῦτο ζητῶν καὶ τὴν αἰτίαν ἀπαιτήσει διὰ τί πόλιν ἐποίουν, ἑνὸς ἄντρου ἢ καὶ οἰκηματίου σφόδρα μίκρου ἀρκοῦντος πρὸς οἴκησιν· πρὸς ἃ *** –λε ρεστε δε λα παγε εν βλανξ
139 ιη, 18. Ἐγεννήθη δὲ τῷ Ἑνὼχ Γαϊδάδ, καὶ Γαϊδὰδ ἐγέννησεν τὸν Μαουιά, καὶ Μαουιὰ ἐγέννησεν τὸν Μαθου- σαήλ, καὶ Μαθουσαὴλ ἐγέννησεν τὸν Λάμεχ. Τὴν γενεὰν τοῦ Κάιν διηγεῖται, ἥτις ἕως ἑβδόμης γενεᾶς φθάσασα τοῦ κατακλυσμοῦ ἐπιγενομένου ἀπώλετο· ἡ δὲ ἀπὸ τοῦ Ἀδὰμ διαδοχὴ ἀπὸ Σήθ, οὗ ἀνέστησεν ὁ Θεὸς, καταγομένη εἰς ἔτι νῦν φυλάττεται· ἀπὸ γὰρ αὐτῆς ἦν ὁ τοῦ Νῶε οἶκος καὶ οἱ διασωθέντες μετ' αὐτοῦ ἐν τῇ κιβωτῷ. Εἰ δέ τις καὶ ἀναγαγεῖν ταῦτα βούλεται, ἀπὸ τῆς ἑρμηνείας τῶν ὀνομάτων δεχόμενος τῆς ἀναγωγῆς τὴν ἀρχὴν μετὰ τοῦ μὴ ψυχρολογεῖν τοῦτο ποιείτω. Εἴρηται δὲ καὶ Φίλωνι εἰς ταῦτα, ἅπερ ὁ φιλόκαλος ἐπισκεψάμενος τὴν δεοῦσαν δεχέσθω ὠφέλειαν. ιη, 19–22. Καὶ ἔλαβεν ἑαυτῷ Λάμεχ δύο γυναῖκας· ὄνομα τῇ μι[ᾷ] Ἀδὰδ καὶ ὄνομα τῇ δευτέρᾳ Σελλά. Καὶ ἔτεκε<ν> Ἀδὰδ τὸν Ἰωβέλ· [ο]ὗ̣τος ἦν ὁ πατὴρ οἰκούντων ἐν σκηναῖς κτηνοτρόφων. Καὶ ὄνομα τῷ ἀδελφῷ αὐτοῦ Ἰουβάλ· οὗτος ἦν ὁ καταδείξας ψαλτήριον καὶ κιθάραν. Σελλὰ δὲ ἔτεκεν καὶ αὐτὴ τὸν Θόβελ, καὶ ἦν σφυροκόπος χαλκεὺς χαλκοῦ καὶ σιδήρου· ἀδελφὴ δὲ Θόβελ Νοεμά. Τὸ παλαιὸν οὐκ ἐδοκεῖ παράνομον εἶναι οὐδὲ τοῖς σπουδαίοις δύο γυναῖκας ἔχειν· τῆς διαδοχῆς γὰρ καὶ τοῦ πλήθους τῶν ἀνθρώπων καιρὸς ἦν. Ὁ Λάμεχ οὖν δύο γυναῖκας ἔχων ἐξ ἀμφοτέρων ἐποίησεν υἱούς, οἳ καὶ
140 ἀρχηγοὶ τεχνῶν γεγένηνται, ὁ μὲν κτηνοτρόφων ἀρχηγὸς γεγενημένος, ὃς ἀδελφὸν Ἰουβὰλ εἶχε̣ν ̣καταδείξαντα ψαλτήριον καὶ κιθάραν, ἐκ δὲ τῆς ἑτέρας ὁ Θόβελ, ὅστις σφυροκόπος ἤρξατο εἶναι χαλκοῦ καὶ σιδήρου, οὗ καὶ ἀδελφὴν ὀνομάζει. Παρίστησιν μὲν οὖν διὰ τῶν ἐκτεθέντων ἡ θεία παίδευσις ὡς προαιρετικὰ ζῷα οἱ ἄνθρωποι τυγχά- νουσιν, μετέχοντες ἐπιστημῶν· οὐ γὰρ ὥσπερ τὰ ἄλογα μόνῃ αἰσθήσει συνζῶσιν, ἀλλ' ἤδη καὶ τοῦ λογιστικοῦ ἡ ἀρετὴ δείκνυται διὰ τοῦ καὶ τεχνῶν εὑρετὰς γεγενῆσθαι. Τὰ μὲν οὖν πρὸς τὸ ῥητὸν οὕτως ἔχει· εἴη δὲ τὰ τῆς ἀναγωγῆς ταῦτα. Ὁ κτηνοτρόφος ἕτερός ἐστι τοῦ ποιμένος· ὁ μὲν γὰρ σὺν ἐπιστήμῃ νέμει, [ὁ] δὲ κτηνοτρόφος οὔ. Ἄβελ ὁ δίκαιος ποιμὴν ἐτύγχανεν, [τὰς] ἀλόγους ἑαυτοῦ δυνάμεις ἐπιθυμητικὴν ὀρεκτι[κὴ]ν θυμικὴν ἄγων κατὰ λόγον τὸν ὀρθόν· ὁ δὲ κτηνοτρό[φο]ς ἀμοιρῶν ἐπιστήμης, ἡδονικός τις ὤν, [μ]όνων ἐστὶ [τ]ῶν αἰσθήσεων, οὐ κρατῶν ἀλλὰ κρατούμενος ὑπ' αὐτῶν. Καὶ ὡς ἐπὶ παρα- δείγματος σαφὲς ἂν εἴη τὸ λεγόμενον τοῦτον τρόπον. Ὁ ἰατρὸς ἄλλως χρῆται τῇ ἁφῇ ἢ ὁ πρὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡδονὴν ὁρῶν· οὗτος οὖν κτηνοτρόφος τρόπον τινά ἐστ̣ι̣ν, ὁ δὲ ἰατρὸς ποιμήν· λόγῳ γὰρ χρῆται τῇ αἰσθήσει. Οὕτω καὶ περὶ ὀσφρήσεως καὶ τῶν ἄλλων αἰσθήσεων ὁ λόγῳ αὐταῖς χρώμενος ἄριστος. Ἄρχει γὰρ ὁ λογισμὸς τῆς αἰσθήσ̣ε̣ως, ἐπὰν δὲ ὁ λογισμὸς κατακρατηθῇ, κατὰ τὰ πάθη λοιπὸν δέχεται τὰς προσηγορίας ὁ ἄνθρωπος, ὡς μὲν διὰ τὸν θυμὸν λέων καλεῖσθαι, διὰ δὲ τὸ πανοῦργον ἀλώπηξ, διὰ 141 δὲ τ[ὸ] γεῶδες ὄφις, οὕτως ὡς καί τινας διὰ τὸ ἡδονικὸν καλεῖσθαι ἵππος· "6Ἵπποι"6 γάρ φησιν "6θηλυμανεῖς ἐγενήθητε"6, καὶ ἄλλους ἀνθρώπους καλεῖσθαι διὰ τὸ ὅλους τῶν αἰσθήσεων ὄντας μηδὲν θεῖον ἀπογεννᾶν ἡμιό- νους· "6Μὴ γίγνεσθε"6 γάρ φησιν "6ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστιν σύνεσις."6 Ὁ μὲν οὖν κτηνοτρόφος τοιοῦτος, φαῦλος τις ὑπάρχων, οὐκ οἶκον οἰκῶν, ἀλλὰ σκηνάς, πρᾶγμα ἀβέβαιον, οὐκ ἐκείνους μιμούμενος τοὺς διὰ προκοπὴν σκηνοῦντας, ἵν' ἀπὸ τούτου καὶ εἰς τὸν οἶκον εἰσελθῶσιν, οἳ καὶ λέγουσιν ὡς ἐν τῷ ψαλμῷ· "6Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων· ἐπιποθεῖ καὶ [ἐ]κλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου"6· ἀπὸ γὰρ σκηνῶν ὁ προκόπτων αὐλῶν ἐπιθυμεῖ ψάλλων· "6Διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ Θεοῦ."6 Ὁ δ' ἕτερος ἀδελφός ἐστιν "6ὁ καταδείξας ψαλτήριον καὶ κιθ[άραν]"6, ἐν δίκῃ ἀδελφὸς αὐτοῦ τυγχάνων· γειτνίασιν γὰρ ἔχει πρὸς [τὴν] τῶν ἡδέων ἀπόλαυσιν καὶ ἡ διὰ μουσικῆς ἀπατὴν ἐνεργ[ουμέ]ν̣η̣ τ̣α̣ῖς ἀκοαῖς· "6Οὐαὶ"6 γὰρ "6οἱ ἐγειρόμενοι τὸ πρωῒ καὶ τὸ σίκε[ρα διώ]κοντες καὶ μένοντες τὸ ὀψέ· ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει· μ[ετὰ] γὰρ κιθάρας καὶ ψαλτηρίου τὸν οἶνον πίνουσιν, τὰ δὲ ἔργα τοῦ Κυρίου οὐκ ἐμβλέπουσιν."6 Ὁ δὲ ἐκ τῆς ἑτέρας τεχνιτεύει σκεύη πολέμια διὰ χαλκοῦ καὶ σιδήρου, τοῦ μὲν χαλκοῦ τὴν φωνὴν σημαί- νοντος, ὡς καὶ Παῦλος γράφει· "6Γέγονα χαλκὸς ἠχῶν"6· ὁ δ' αὐτὸς καὶ σιδήρου ἐργατής ἐστιν, σοφιστής τις ὢν καὶ διὰ δῆθεν δυνατῶν πιθανοτήτων ἀπατῶν. ιη, 23–24. Εἶπεν δὲ Λάμεχ ταῖς ἑαυτοῦ γυναιξὶν Ἀδὰ καὶ Σελλά· Ἀκούσατέ μου τῆς φωνῆς γυναῖκες Λάμεχ, ἐνωτίσασθέ μου τ̣ο̣υ̣`ς λ̣ο̣´γ̣ο̣υ̣ς· ὁ̣´τι ἄνδρα ἀπέκτεινα εἰς τραῦμα ἐμοί, καὶ νεανίσκον εἰς μώλωπά μοι· ὅτι ἑπτάκις ἐκδεδίκηται ἐκ Κάιν, ἐκ δ[ὲ] Λάμεχ ἑβδομηκοντάκις ἑπτά. Τὸ ἐνωτίζεσθαι παρὰ τῇ θείᾳ παιδεύσει νομίζω μόν̣η̣ 142 φέρεσθαι, διαφέρει δὲ τοῦ ἀκοῦσαι, ὅτε σὺν αὐτῷ συνάπτεται, ὅτι τὸ μὲν ἐνωτίζεσθαι τὴν ἐκ τοῦ σύνεγγυς ἀκοήν, τὸ δὲ ἀκοῦσαι τὸ ὁπωσοῦν ἀκοῦσαι, καὶ εἰ μὴ ἐγγὺς ὁ λόγος ἐστίν. Καὶ ἐν τῷ Ἠσαΐᾳ δὲ τὸ "6Ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησεν"6 οὐκ ἐκ παραλ- λήλου ἐστὶν λεγόμενον, ὃ καὶ τὸ "6Ἐνωτίζου, οὐρανέ, καὶ λαλήσω"6–ἀντὶ γὰρ τοῦ "6Πρόσεχε"6 τὸ "6Ἐνω̣τίζου"6 ἄλλοι λέγουσιν ἑρμηνευταί–"6καὶ ἀκουέτω γῆ ῥήματα ἐκ στόματος μου"6. Καί φασιν τοιαύτην εἶναι τὴν παρα- τήρησιν· ὅτε ὁ νόμος πρὸς τοῦ Θεοῦ ἐδίδοτο, ἐπεὶ πλ[η]σίον ἐτύγχανον τῶν οὐρανίων ἔργων, διὰ τοῦτο ὁ οὐρανὸς ἐνωτίζεσθαι παραγγέλ̣λεται, ὅτε δὲ ἀπέστησαν τῆς ἐναρέτου πολιτείας, ὡς ἐγγὺς γενέσθαι τῆς γῆς, τ[ο̣´]τε λοιπὸν εἴρηται· "6Ἄκουε, [οὐρα]νέ"6–πόρρω γὰρ αὐτῶν ἐτύγχανεν–"6καὶ ἐνωτίζου, γῆ"6–πλη̣[σίον γ]ὰρ αὕτη διὰ τῶν ἐπιτηδευμάτων ὑπῆρχεν. [...] ὁ Λάμεχ οὖν <οὐκ> ἐκ παραλλήλου εἶπεν τὸ "6Ἀκούσατε"6 καὶ "6Ἐ[νω]τίσασθε"6, ἀλλὰ γοῦν οὐκ ἀκαίρως τὴν διαφορὰ[ν] αὐτω̣~ν κειμένην ἐν τῇ γραφῇ παρετηρησάμεθα· τί δέ ἐστιν ὅ, λέγει, μαθῶμεν· "6Ἀκούσατέ μου τῆς φωνῆς, γυναῖκες Λάμεχ· ἐνωτίσασθέ μου τοὺς λόγους."6 Καὶ τὴν φωνὴν οὖν καὶ τοὺς λόγους ἐκ παραλλήλου τις ἂν λέγοι· ὁ δὲ καὶ ἐπὶ τούτων ἀκρίβειαν ζητῶν λέγοι ἂν ὅτι ἐπὶ μὲν τῆς φωνῆς τὸ "6Ἀκούσατε"6, ἐπὶ δὲ τῶν λόγων τὸ ἀκριβέστερον, ὅπερ ἐστὶν τὸ ἐνωτί- ζεσθαι, ἔταξεν. Εἰς ταύτην τὴν διαφορὰν ὁρῶ̣ν̣ τις λέγοι ὅτι Ἰωάννης "6φωνὴ βοῶντος"6 ἐτύγχανεν, ἐκλαμβάνων τὴν μὲν πρόχειρον λέξιν τῶν γραφῶν φωνήν, τὸν δὲ μυστικὸν νοῦν λόγον. "6Ὅτι ἄνδρα ἀπέκτεινα εἰς τραῦμα ἐμοὶ καὶ νεανίσκον 143 εἰς μώλωπά



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μοι."6 Λέγε<ται> ἐν τῇ βίβλῳ τῆς διαθήκης ὑπὸ τοῦ Λάμεχ τὸν Κάιν ἀνῃρῆσθαι ἀκουσίως· τοῖχον γάρ τινα οἰκοδομῶν προσανέτρεψεν αὐτόν, ὅπιθεν ὄντος τοῦ Κάιν, ὃς καὶ ἀνῃρέθη ἀκουσίως. Τῷ μὲν οὖν ἀνῃρῆσθαι φησίν, "6εἰς τραῦμα ἐμοὶ"6 γέγονεν, τῷ δὲ μὴ ἑκὼν "6εἰς μώλωπά μοι"6. *** –τρειζε λιγνες εν βλανξ– ιη, 25. Ἔγνω δὲ Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκεν υἱὸν καὶ ἐπωνόμασεν τὸ ὄνομα αὐτοῦ Σὴθ λέγουσα· Ἐξανέστησεν γάρ μοι ὁ Θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινεν Κάιν. Πρότερον διαστέλλοντες τὰ σημαινόμενα τοῦ "6ἔγνω"6 τὸ ἐγνωκέναι Ἀδὰμ τὴν Εὔαν γυναῖκα αὐτοῦ οὐ τὸ ἐπί- στασθαι ἐλέγομεν, ἀλλὰ τὸ ϛ̣υ̣ν̣εληλυθέναι, ὅπερ καὶ νῦν σημαίνει. Ἥτις "6συλλαβοῦσα ἔτεκεν υἱόν"6, ὃν "6καὶ ἐπωνόμασεν Σὴθ λέγουσα· Ἀνέστησεν γάρ μοι ὁ Θεὸς σπέρμα ἀντὶ Ἄβελ, ὃν ἀπέ[κ]τεινεν Κάιν"6. Οἱ τῆς Οὐαλεντίνου αἱρέσεως φύσεις διαφόρους εἰσ[άγο]ντες ὡς 144 τὴν μὲν αὐτῶν ἀνεπίδεκτον ἀρετῆς εἶναι, ἥντινα καὶ χοϊκὴν καλοῦσιν, τὴν δὲ ἀνεπίδεκτον κακίας, ἣν δὴ καὶ πνευματικὴν ὀνομάζουσιν, τρίτην λέγοντες εἶναι τὴν ψυχικήν, ἥτις μεμιγμένη τις παρ' αὐτοῖς νομίζεται· καὶ τῆς μὲν ἀνεπιδέκτου ἀρετῆς σημεῖον τὸν Κάιν λαμβάνουσιν, τῆς δὲ πνευματικῆς τὸν Ἄβελ, τὴν λοιπὴν ἐπὶ τὸν Σὴθ ἀναφέροντες. Οὐ τοῦ παρόντος δὲ καιροῦ τὴν δυσσεβὴ ταύτην διελέγξαι αἵρεσιν, ἵνα μὴ ὁ λόγος μηκύνηται· σ[¨]νομεθα δὲ καὶ τὸν λόγον τῆς Εὔας ὥσπερ μαρτυρίαν εἶναι τοῦ τρόπου τοῦ Σήθ. Ἀντὶ γὰρ σπουδαίου τοῦ Ἄβελ οὗτος ἑρμηνευόμενος "3ποτισμός"3· ζωτικῆς δὲ χορηγείας τοῦτο σύμβο[λο]ν· ἔδει γὰρ τὸν "3ἀναφέροντα"3 τοῦτον γὰρ Ἄβελ ἑρμηνεύ[ε]ται–ποτισμὸν ἔχειν ἀδελφόν, ἵνα πρῶτός τις ὢν καὶ τελειότερος ἐκεῖνος ἱερέως δίκην ἀναφέρῃ τῷ Θεῷ τὰς πνευματικὰς θυσίας, ὁ δὲ Σὴθ δευτερεῖα ἄγων προσφέρῃ διὰ ποτισμοῦ καὶ διδασκαλίας τοὺς παιδευομέ[ν]ους τῷ Θεῷ, ὃς ἀντὶ Κάιν ὑπάρχει αὐθεκάστου τινὸς ὄντος [κα]ὶ ἐφ' ἑαυτῷ βαλλομένου· κτῆσις γὰρ ἑρμηνεύεται Κάιν. ιη, 26. [Κ]αὶ τῷ Σὴθ ἐγένετο υἱός, ἐπωνόμασεν δὲ τὸ ὄνομα αὐτοῦ Ἐνώς· οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου τοῦ θεοῦ. Οἱ ἐξ ἁγίου ἅγιοι πολλάκις καὶ τὴν κατὰ σάρκα γένεσιν ἐξ ἐκείνων ἀπέχουσι καὶ τὴν κατὰ ψυχήν, ὅνπερ τρόπον Ἀβραὰμ τοῦ Ἰσαὰκ πατὴρ γέγονεν καὶ Ἰσαὰκ τοῦ Ἰακὼκαὶ Ἰακὼβ τοῦ Ἰωσήφ· οὗτοι γὰρ ἅμα τε τῇ ἀνθρωπίνῃ διαδοχῇ ἐξ αὐτῶν ὑπάρχουσιν καὶ μιμηταὶ τῆς ἀρετῆς αὐτῶν κατέστησαν. Ὁ δὲ Ἠσαὺ κατὰ σάρκα μόνην γέγονεν τοῦ Ἰσαάκ, ἀλλοτριούμενος αὐτοῦ διὰ γνωμήν· φαῦλος γὰρ ἐτύγχανεν. Ὁ Σὴθ οὖν ἀντὶ τοῦ δικαίου τεχθεὶς γεννᾷ τὸν Ἐνὼς δίκαιος δίκαιον, ὃς ἀντὶ τοῦ κυρίου ὀνόματος ἄνθρωπος καλεῖται, τῆς τοιαύτης προση- 145 γορίας, τῆς ψυχῆς αὐτοῦ τὴν ἀρετὴν δηλούσης, σῳζούσης τὸ "6κατ' εἰκόνα"6 καὶ τὴν τοῦ ὄντως ὄντ[ο]ς ἀνθρώπου κατάστασιν· Ἐνὼς γὰρ παρ' Ἑβραίοις ἄνθρωπός ἐστιν. Ἀμέλει γοῦν καὶ τὸ ἴδιον τοῦ ἀνθρώπου προσάπτει αὐτῷ· "6Οὗτός"6 φησιν "6ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου"6· προσήκουσα δὲ αὕτη ἀνθρώπῳ ἐναρέτῳ πρᾶξις· ἐλπὶς δὲ ἡ τῷ ὄντι αὕτη ἐστὶν τὸ ὁμοιωθῆναι τῷ Θεῷ κατὰ τὸ δυνατόν· ἐλπίζειν δὲ ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ ἅμα καὶ ὑπὸ ἐξουσίαν καὶ ὑπὸ τὴν διδασ- καλίαν τὴν θείαν ἐστὶν ἑαυτὸν ὑποτά[τ]τοντος. η, 1–2. Αὕτη ἡ βίβλος γενέσεως ἀνθρώπων. Ἧι ἡμέρᾳ ἐποίησεν ὁ Θεὸς τὸν Ἀδάμ, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν· ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς, καὶ εὐλόγησεν αὐτούς, καὶ ἐπων[ό]μασεν τὸ ὄνομα αὐτῶν Ἀδάμ, ᾗ ἡμέρᾳ ἐποίησεν αὐτούς. Βίβλ[ον] ἐνταῦθα τὴν διήγησιν τὴν περὶ τοῦ Ἀδὰμ καὶ τῆς διαδοχῆς αὐτοῦ ἕως τῶν παρόντων ἐκάλεσεν. Πρὸ μὲν οὖν τῆς ἕκτης ἡμέρας, καθ' ἣν ὁ ἄνθρωπος συνέστη, "6βίβλος"6 ἐλέγετο "6οὐρανοῦ καὶ γῆς"6· ὅλην γὰρ ἐκείνην τὴν διήγησιν τοῖς πρ[ὸ] τοῦ ἀνθρώπου γεγονόσιν ἀπένειμεν, ἄλλην ἀρχὴν τῆς τῶν [ἀνθρώπων] γενέσεως κατατιθέμενος· γένεσιν δὲ τὸν λόγον δ̣ιαγρ[άφοντα] τὴν ποίησιν αὐτοῦ φησιν, ὡς καὶ περὶ τοῦ Ἰησοῦ εἴρηται· "6Βίβλ[ος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γε]νέσεως Ἰησοῦ Χριστοῦ"6, τὴν κατὰ σάρκα λέγων· ἡ γὰρ ἀΐδιος ἄγν[ωστος] ἀνθρώποις· λέγεται γάρ· "6Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται;"6 Ὥ[σ]περ δὲ οὐ πλῆθος ἡμερῶν τὰς ἓξ ἡμέρας ἐλέγομεν εἶναι, οὕτως οὐδὲ τὴν μίαν· οὐ γὰρ ἐν χρόνῳ Θεὸς δημι- ουργεῖ. Ἄνθρωποι μὲν γὰρ τὰς πράξεις χρόνῳ συμμε- τρουμένας ἔχουσιν, Θεὸς δὲ οὐχ οὕτως· "6Αὐτὸς"6 γὰρ "6εἶπεν καὶ ἐγεννήθησαν"6, καὶ οὐκ ἔχομεν διαστεῖλαι τὸ θελῆσαι τοῦ ὑπᾶρξαι ὃ βούλεται ὑποστῆσαι, τάξεως δ' ἕ<νεκεν>, ὡς εἴρηται, ὁ πρῶτος ἐν τελείοις εἴλημπται. Ἀλλὰ καὶ περὶ τοῦ "6κατ' εἰκόνα"6 τὸν ἄνθρωπον γεγονέ- ναι τότε ὁμοίως εἴρηται. Τὸ δὲ "6καὶ εὐλόγησεν αὐτοὺς"6 ἐμφατικὸν τοῦ ἀγαθοὺς 146 εἶναι· εὐλογία γὰρ εἰς ἀγαθοὺς φθάνει· "6Οὗτος"6 γὰρ "6λήμψεται εὐλογίαν παρὰ Κυρίου"6. Σημειωτέον ὅτι ἀμφοτέρους Ἀδὰμ καλεῖ, καὶ περὶ τοῦ "6ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς"6 εἰπόντες ἐν τοῖς πρώτοις, οὐ παλιλλογήσομεν. Εἰ δὲ καὶ τὸ Ἐνὼς καὶ Ἀδὰμ τὸν ἄνθρωπον σημαίνει, οὐ ξενιστέον· παρ' Ἑβραίοις γὰρ πολυώνυμος ὁ ἄνθρωπος, ὥσπερ καὶ παρὰ τοῖς ἑλληνιστὶ λαλοῦσιν ἄνθρωπον, μέροπα, βροτόν, φῶτα· ἐτυμολογίαις δὲ ταῦτα ὑποπίπτοντα φύσει καὶ οὐ θέσει εἰσίν, ὡς καὶ πρότερον εἴρηται.

ῃ, 3–5. Ἔζησεν δὲ Ἀδὰμ τριάκοντα καὶ διακόσια καὶ ἐγέννησεν κατὰ τὴν ἰδέαν α[ὐτ]οῦ καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ, καὶ ἐπωνόμασεν τὸ ὄνομα αὐτοῦ Σήθ. Ἐγένοντο δὲ αἱ ἡμέραι Ἀδὰμ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Σὴθ ἑπτα- κόσια ἔτη, καὶ ἐγέννησεν υ[ἱο]ὺς καὶ θυγατέρας. Καὶ ἐγένον- [το π]ᾶσαι αἱ ἡμέραι Ἀδὰμ ἃς ἔζησεν τριάκοντα καὶ ἐν[νακόσ]ια ἔτη καὶ ἀπέθανεν. [Ἡ ζωὴ μ]ὲν ἀνθρώπων νῦν εἰς ὀλίγον ἀριθμὸν συντέτμηται· ῥ[ηθήσ]εται γὰρ ὕστερον ἐκ τῶν ἱστοριῶν οὕτω κατ' ὀλίγο[ν] χωρῆσαν τὸ πρᾶγμα, ὡς καὶ προανα- φωνηθῆναι πρὸς τοῦ Θεοῦ λέγοντος· "6Οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις διὰ τὸ εἶναι αὐτοὺς σάρκας, ἔσονται δὲ αἱ ἡμέραι αὐτῶν ἔτη ἑκατὸν εἴκοσι"6, εἴρηται δὲ καὶ ὑπὸ τοῦ ψαλμῳδοῦ· "6Αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἑβδομήκοντα ἔτη, ἐὰν δὲ ἐν δυνα- στείαις ὀγδοήκοντα ἔτη, τὸ δὲ πλεῖον αὐτῶν κόπος καὶ πόνος"6· τὰ γὰρ μετὰ τὸ ὀγδοηκοστὸν ἔτος τῆς ζωῆς πόνος ἐστὶν καὶ κόπος. Τότε δὲ οὐδὲ ταχέως ἐγήρων· 147 ἑκατὸν γοῦν καὶ ἑξήκοντα ἐτῶν ἀκμαῖς ἐδόκουν εἶναι. Καὶ εἰκότως γε κατ' ἀρχὰς πολυχρόνιοι οἱ ἄνθρωποι ἐτύγχανο[ν], ἵνα μή, ὠκυμόρων αὐτῶν τυγχανόντων, ἐπιλείψῃ τὸ τῶ[ν] ἀνθρώπων γένος ἀπὸ μιᾶς ἀρχῆς κατα- γόμενον· οὕτω γὰρ καὶ πλείονα<ς> ἐγ<έν>νων, τοῦ χρόνου τῆς ζωῆς πλείονος ὄντος, ἑνὸς δὲ μνήμη γίνεται διὰ τὸν τῆς διαδοχῆς λόγον, τῶν πρωτο[τό]κων ὀνομαζομένων. Εἰ δέ τις λέγοι· Καὶ μὴν Σὴθ τρίτος, οὐ πρωτότοκος, ἐστίν, λεκτέον ὡς οὔτε ἀπὸ Κάιν ἔπρεπεν φαύλου ὄντος οὔτε ἀπὸ Ἄβελ ἀτέκνου ἀναχωρήσαντος, διόπερ εἰκότως ἀπὸ τοῦ Σὴθ τρόπον τινὰ πρωτοτόκου ὑπάρχοντ[ος]. Τὸ δὲ "6κατὰ τὴν ἰδέαν"6 καὶ "6κατὰ τὴν εἰκόνα"6 δόξει μὲν ἁπλ[ο]ύστερον λαμβανόμενον ταὐτὸν ἂν εἴη, ὁ δὲ φιλοτεχνῶν λέγοι ἂν ὅτι κατὰ μὲν τὴν ἰδέαν τῷ ***, "6κατὰ"6 δὲ "6τὴν εἰκόνα"6 τῷ ***. Ταῦτα μὲν οὕτω νῦν ἀποδέδοται· εἰ δέ τις καὶ τῷ πλήθε[ι τῶν ἐ]τῶν καὶ τῇ ἑρμηνείᾳ τῶν ὀνομάτων <τῶν> γεννωμένων ἔ[νσχοι, Φί]λων ἀποδοίη λόγον μυστικὸν μετὰ τοῦ μὴ ψυχρολογ[εῖ]ν· πρόσεστε οὖν τούτῳ, ὠφέλιμον γάρ. ῃ, 6–8. Ἔζησεν δὲ Σὴθ πέντε καὶ διακόσια ἔτη καὶ ἐγέννησεν τὸν Ἐνώς. Καὶ ἔζησεν Σὴθ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Ἐνὼς ἑπτὰ ἔτη καὶ ἑπτακόσια καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας. Καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Σὴθ δώδεκα καὶ ἐννακόσια ἔτη καὶ ἀπέθανεν. Ὁμώνυμος δέ ἐστιν οὗτος ὁ Ἐνὼς τοῦ πρὸ τούτου, ὃς υἱὸς ἦν τοῦ Κάιν. Οὗτος δὲ ὁ Ἐνὼς ἔζησεν ¯ϡ καὶ ἀπέ- θανεν· υἱὸς δὲ αὐτοῦ Καινάν, ὃς καὶ αὐτὸς ἔζησεν ¯ι καὶ ¯ϡ καὶ ἀπέθανεν· υἱὸς δὲ τούτου Μαλελεήλ, καὶ τούτου δὲ ὁ χρ[ό]νος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐν πέντε καὶ ἐνενήκοντα ἔτεσιν συνετελέσθη· καὶ τούτου δὲ υἱὸς Ἰάρεδ, ὃς ἔζησεν δύο καὶ ἑξήκοντα 148 ἔτη καὶ ἐννακόσια καὶ ἀπέθανεν, ὃς ἐ[γ]έννησεν τὸν Ἑνώχ. ῃ, 21–24. Καὶ ἔζησεν Ἑνὼχ πέντε καὶ ἑξήκοντα καὶ ἑ[κα]τὸν ἔτη καὶ ἐγέννησεν τὸν Μαθουσαλά, εὐηρέστησεν δὲ Ἑνὼ[χ] τῷ Θεῷ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Μαθουσαλὰ διακόσια ἔτη, καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας. Καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Ἑν[ὼ]χ πέντε καὶ ἑξήκοντα καὶ τριακόσια ἔτη. Καὶ εὐηρέστησεν Ἑνὼχ [τ]ῷ Θεῷ, καὶ οὐχ ηὑρίσκετο, ὅτι μετέθηκεν αὐτὸν ὁ Θεός. Τὴν περ[ὶ τοῦ] Ἑνὼχ λέξιν παραλαβὼν ὁ Ἀπόστολος ἐν τῇ πρὸς Ἑβραίους λέ[γ]ει· "6Πίστει Ἑνὼχ μετετέθη τοῦ μὴ ἰδεῖν θάνατον"6. Περιγράφετα[ι] δ' ἡ ζωὴ αὐτοῦ εἰς ἀριθμὸν ἡμερῶν ἐνιαυτὸν καὶ λοιπὸν μετε[τ]έθη, ὅπερ συνετῶς λογίσαιτο ἄν τις ὅτι τελειότητος καὶ πληρό[τ]ητος ἐπειλημμένος κατὰ τὴν ἐν ἀνθρώποις ὑπᾶρξαι ὀφείλουσαν ἀρετὴν μετετέθη [εἰς] τὰ κρείττονα. Ἡ δὲ μετάθεσις [α]ὐτοῦ οὐ κατὰ τοὺς ἄλλους γέ[γονεν] ἀνθρώπους· τὰ γὰρ τῶν ἄλλων σω̣΄ματα ἐνταῦθα διαμείναν[τα καὶ δια]λυ- θέντα ἐχωρίσθη τῶν ψυχῶν, περὶ δὲ τούτου λέγε[ται ὅτι μ]ετετέθη, περὶ οὗ νοοῦμεν ὅτι ἢ ὡς Ἠλίας ἀνελήμφθη ἢ καθ' ἕ[τ]ερον τρόπον εἰς θεῖον ἡρπάγη χῶρον. Ἐνταῦθα λοιπὸν σκοπεῖν προσήκει τὸ ὑπὸ Παύλου εἰρημένον "6Καὶ καθὼς ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν"6 πῶς ἀληθεύεται. Εἰ γὰρ οὗτοι, Ἠλίας λέγω καὶ Ἑνώχ, μετὰ τῶν παχυτάτων σωμάτων ἄχρις καὶ νῦν καὶ τοῦ παντὸς αἰῶνος ἔσεσθαι μέλλοντες ἀνελήμ- φθησαν, ψευδὴς ὁ λόγος ὁ περὶ τοῦ δεῖν πάντας ἀνθρώπους ἀποθανεῖν παρὰ Παύλου τοῦ σοφοῦ καὶ ἁγίου λεγόμενος. Ἀλλ' οὐ ψευδής. Θεωρίαν ἄρα πρέπουσαν ἔχει τὸ προ- κείμενον, εἰ καὶ μὴ τῷ εἰθισμένῳ τ̣ὸ νῦν τοῖς ἄλλοις ἀνθρώποις θανάτῳ κεκοινωνήκασιν, ἀλλὰ τῷ τὴν ἔνυλον ζωὴν ἀποτεθεῖσθαι κατὰ τὸν ἀπόρρητον ἡμῖν τοῦ Θεοῦ λόγον τὸ θνητὸν αὐτῶν δεῖ νο̣ῆ̣σαι. Εἰ γὰρ "6πρωτότοκος ἐκ τῶν νεκρῶν"6 ὁ Σωτήρ, καὶ τούτων ἂν εἴη πρωτότοκος. 149 Ἄδοξον γὰρ τὸ ἐκτὸς αὐτοὺς εἶναι τοῦ τοιούτου λόγου, ἄλλως τε, εἰ οὐκ ἀπέθε<ν>το τὴν ἔνυλον ζωήν, ὡς εἴπομε[ν, ο]ὐδὲ τῆς θείας ἀναστάσεως κεκοινωνήκασιν, καθ' ἣν ἐξ ἀτίμ[ο]υ ἔντιμον, ἐξ ἀδόξου ἐπίδοξον, ἐξ <ἀ>σθενοῦς δυνατόν, ἐξ ψυχικοῦ πνευματικὸν ἀπολημψόμεθα πάντες τὸ σῶμα. Εἰ δέ τῳ φίλον κα̣[ὶ] τὴν βίβλον τῆς διαθήκης ἀναγιγνώ- σκειν, γνώσεται ὡς [εἰς] τὸν παράδεισον ἡρπᾶσθαι λέγεται· καὶ τοῦτο γὰρ εἰδέναι, [εἰ κα]ὶ μὴ ἐξ ἀναντιρρήτου βιβλίου ἐστίν, οὐκ ἄτοπον. Εἰσὶ δὲ οἳ τὴν μετάθεσιν τὴν ἐκ τρόπου εἰς τρόπον φασὶν εἶναι, καθ' ἣν [το]ῖς μαθηταῖς ὁ Σωτὴρ ἔλεγεν· "6Οὐκέτι ἐκ τοῦ κόσμου τούτου [ἐσ]τέ, ἐγὼ δὲ ἐξελεξάμην ὑμᾶς"6, τῆς ἐκλογῆς μετάθεσιν ἐκ τῶν κοσμικῶν ποιούσης, καὶ ἕτερον δὲ ῥητὸν τούτου κατα- σκευαστικὸν δέχονται· "6Ἡμεῖς οἴδαμεν ὅτι μεταβεβή[κ]αμεν ἐκ τοῦ θανάτου εἰς τὴ[ν ζω]ήν"6· οἱ γὰρ μεταβεβηκότες ἐκ τοῦ θανάτου τοῦ ἑπ[ομένου] τῇ κακίᾳ ἐπὶ τὴν ζωὴν τὴν ἐξ ἀρετῆς μετεληλύ[θαμεν]. Αὕτη δὲ ἡ ἀπόδοσις οὐ μόνῳ τῷ Ἑνώχ, ἀλλὰ καὶ πᾶ[σι]ν τοῖς ἁγίοις ἁρμόζει· διόπερ ἐπιστῆσον εἰ τὴν προτέραν ἐγκρίναι προσήκει. ῃ, 32. Καὶ ἦν Νῶε ἐτῶν ¯φ, καὶ ἐγέννησεν Νῶε τρεῖς υἱούς, τὸν Σήθ, τὸν Χάμ, τὸν Ἰάφετ. Παρατηρητέον ὅτι οὐκ εἶπεν ἐπὶ τούτου πόσων ὑπάρχων ἐτῶν ἤρξατο γεννᾶν, ἀλλὰ ¯φ τυγχάνων εἶχεν τρεῖς οὐχ ἅμα γεννηθέντας υἱούς. Εὖ δὲ καὶ ὅτι οὐ θυγατέρας γεγεννηκέναι ἀναγέγραπται, ἀλλ' υἱούς, διὰ συμβόλου δεικνυμένο̣υ ὅτι οὐ θηλυτόκος ὁ δίκαιος, ὡς καὶ περὶ Μωσέως καὶ Ἀβραὰμ ἀναγέγρα[πτ]αι· οὐδὲ γὰρ οὗτοι θυγατέρας ἔσχον. Μακαρίζεται γοῦν τις κατὰ 150 ψυχὴν πατὴρ εὐτόνων γεννημάτων ὑπάρχων, ἀκούων· "6Μακάριο[ς] εἶ καὶ καλῶς γὰρ ἔσται. Οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν κ[ύκλ]ῳ τῆς τραπέζης σου· οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον"6. Αἰσθητῶν δὲ σύμβολα τυγχάνουσιν αἱ θυγατέρες. Αὐτίκα γοῦν καὶ ὁ τύραννος Φαραὼ φιλοπαθὴς [ὢν] τὰ γεννώμενα παρὰ τοῖς Ἑβραίοις ἄρρενα ἀνῄρει,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὰ [θή]λεα περιποι- ούμενος. Τὰ γὰρ γεννήματα τῆς ψυχῆς τὰ [ε]ὔτονα οἱ περὶ τὰ κάτω στρεφόμενοι ἀναιρεῖν σπουδάζουσιν, χαίροντες περὶ πλοῦτον καὶ τὰ ἀνθρώπινα. Αὐτίκα γοῦν κ[αὶ] τὸ ἑξῆς ῥητὸν τοῦτο παιδεύει· ὡς γὰρ πλῆθος ἐγένοντο, [θ]υγατέρες αὐτοῖς ἐγεννή<θη>σαν αὐτοῖς.

ηι, 1. Καὶ ἐγένοντο ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γίνεσθαι ἐπὶ τῆς γῆς, καὶ θυγα[τ]έρες ἐγεννήθησαν αὐτοῖς. [Τὸ "6πολ]λοὶ"6 δυνατὸν καὶ ἐπὶ πλήθους, ἐφ' οὗ μάλιστα καὶ κυριόλε[κτον, ἐκλ]αμβάνεσθαι καὶ ἐπὶ τοῦ χυδαίου. Καὶ ἐν τῇ Ἐξόδῳ γὰρ [εἴρηται· "6Κ]αὶ ἐπλη- θύνθησαν οἱ υἱοὶ Ἰσραὴλ καὶ χυδαῖοι ἐγένον[το]"6. Ἀλλὰ καὶ τὸ "6Πολλοὶ λέγουσι τῇ ψυχῇ μου"6 ἀντὶ το[ῦ] "3χυδαῖ- οι"3· οὐ γὰρ σπουδαῖα ἐπιφέρουσιν ῥήματα. Καὶ Παῦλος δὲ λέγων· "6Οὐ γάρ ἐσμεν ὡς οἱ πολλοὶ καπηλεύοντες τὸν λόγον τοῦ Κυρίου"6, τοὺς ἠμελημένους δηλοῖ. Εὖ δὲ καὶ τὸ "6ἐπὶ τῆς γῆς"6 λέγειν τούτους πεπλη- θύνθαι· γήϊνα γὰρ φρονοῦντες εὐτελεῖς ἦσαν καὶ τοῖς πολλοῖςμᾶλλον οἰκειότεροι· οὐ γὰρ ἐν οὐρανῷ οὗτοι, ἀλλ' ἐπὶ γῆς. Εἰκότως δὲ "6καὶ θυγατέρες αὐτοῖς ἐγεννήθησαν αὐτοῖς"6· θηλυτόκον γὰρ ἠμελημένον ὁ φαῦλος. ηι, 2. Ἰδόντες δὲ οἱ ἄγγελοι τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων <ὅτι καλαί εἰσιν>, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πάντων ὧν ἐξελέξαντο. Παρὰ Κυρίου ἁρμόζεται γυνὴ ἀνδρί· διόπερ ὁ χωρὶς 151 τῆς εἰς τὸν Θεὸν ἐλπίδος τῇ συζυγίᾳ χρώμενος [ἑ]αυτῷ καὶ οὐκ ἐκ Θεοῦ δέχεται, ἐπεὶ καὶ τῷ Ἀδὰμ ὁ Θεὸς [τὴ]ν γυναῖκα ἤγαγεν. Ὠφέλιμον οὖν καὶ τὸ ῥητὸν πρὸ[ς τ]ὸ μὴ χωρὶς Θεοῦ τι ποιεῖν. Ὁ γὰρ τὸν τίμιον γάμον σπου- δάζων οὐκ εἰς πλοῦτον ὁρᾷ, οὐκ εἰς εὐγένειαν, οὐκ εἰς εὐμορ[φίαν], ἐὰν ἀκόλαστος ᾖ. Οὕτω καὶ ὁ ἅγιος Ἀβραὰμ ἐ[κπ]έμπει τὸν ἑαυτοῦ παῖδα πρὸς μνηστείαν τρόποις [···]ομένην δέξασθαι τῷ Ἰσαὰκ προστεταγμένος. Ἀμέλει γοῦν καὶ τὸ συγγραφικὸν Πνεῦμά φησιν περὶ αὐτῆ[ς·] "6Παρθένος ἦν· ἀνὴρ οὐκ ἔγνω αὐτήν"6, διὰ μὲν τοῦ "6π[αρθ]ένος ἦν"6 καὶ τὴν τῆς ψυχῆς δεικνὺς καθαρότητα, διὰ δὲ τοῦ "6ἀνὴρ οὐκ ἔγνω αὐτὴν"6 αὐτὸ τοῦτο τὸ τοῦ σώμ[ατ]ος ἀδιάφθορον. Καὶ ὅτι οὐ πᾶς γάμος ἐκ Θεοῦ ἐστιν, γρ[ά]φει Παῦλος· "6Μὴ γίνεσθε ἑτεροζυγοῦντες ἀπίστοις"6, ὅπερ οἰκείως ἐν ἀρχῇ τοῦ κηρύγμ[α]τος προσέταττεν, εἰ καὶ φαίνεται ὁ Παῦλος ·····[·] "6Εἴ τις γυναῖκα ἔχει ἄπιστον"6· δῆλον γὰρ ὅτι πρὸ πίστεως ἦσαν συναφθέντες, οὓς οὐκ ἐβούλετο διαιρεῖσθαι μετὰ τὴν πίστιν ἵνα μὴ ὁ λόγος ἐμποδίζηται. Καὶ πρὸς ἀλληγορίαν δὲ γνώμην καὶ εὐσέβειαν καὶ σοφίαν συνάπτει Θεὸς ἀνδρί, ἵν' ἀπογεννήσῃ ἀρετάς· "6Ἡ σοφία"6 γοῦν "6τίκτει ἀνδρὶ φρόνησιν"6, καὶ Σολομὼν δέ φησιν περὶ τῆς σοφίας· "6Ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς"6 καὶ ἤγαγον αὐτὴν πρὸς συμβίωσιν ἐμαυτῷ. Ταύτην τὴν γυναῖκα ὁ Θεὸς ἁρμόζει· ὁ γὰρ "6Κύριος δίδωσιν σοφίαν"6. Οὗτοι οὖν περὶ ὧν τὰ προκείμενα ἑαυτοῖς ἔλαβον γυναῖκας, οὐκ ἐκδεξάμενοι παρὰ Θεοῦ το[ῦτο] γενέσθαι. Τοῦτο γὰρ αὐτῶν ἐλέγχει τὴν ἄλογον ἐπιθυμίαν ὅτι πρὸς 152 εὐμορφίαν ἔβλεψαν· τὸ γὰρ "6καλαὶ"6 τοῦτο σημαίνει. Ζητ[ε]ῖται παρὰ πολλοῖς πότερον ἄγγελοι φύσει συνεμίγησαν ταῖς γυναιξὶν ····ν ἕτερον ἔχει τὸ λεγόμενον. Ἔ[νιο]ι μὲν οὖν φασιν ἡδυπαθεῖς δαίμονας ἐρασθέντας [σ]ωμάτων γυναιξὶν συνεύνασθαι, ἀλλὰ τοῦτο νοεῖν κωλύει ἡ γενομένη ἐξ αὐτῶν σύλλημψις· οὐ γὰρ οἷόν τ[ε] ἀνθρώ- πων διαδοχὴν ὑπᾶρξαι οὕτως. Ἕτεροι δέ φασιν ὅτι [ἄγ]γελοι τῶν σωμάτων ἐπιθυμήσαντες αἰσθήσει συνε-[πλ]α ́κησαν Θεοῦ τοῦτο οἰκονομοῦντος, ἵνα κορεσθέντες τοῦ πόθου ἐπιστρέψωσιν εἰς ὃ καταλελοίπασιν, ἀλλη- γο[ρο]ῦντες δὲ τὰς γυναῖκας εἰς τὴν αἴσθησιν καὶ τὰ σώματα τοῦτό φασιν, ἐξ ὧν γίγαν[τας τ]οὺς λογισμοὺς καὶ πράξεις ἀπεγέννησαν. Εἰσὶ δ' οἱ φάσκοντες ὡς δαίμονες δι' ἡδυπαθείας ὀργάνῳ χρῶνται φαύλοις ἀνθρώποις, δι' ὧν ὥσπερ οἷόν τε συνεῖναι γυναιξίν, τῇ ἀπ' ἐκείνων ἁμαρτίᾳ αὐτοὶ ἡδόμενοι. ηι, 3. Καὶ εἶπεν Κύριος ὁ Θεός· Οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνθρώποις εἰς τὸν αἰῶνα διὰ τὸ εἶναι αὐτοὺς σάρκας. Τὸ τοῦ Θεοῦ Πνεῦμα παραμένει ἐν τοῖς ἀνωτέρω χωρήσασιν τῶν ὑλικῶν, δι' ἃ σάρκες λέγονται οἱ προσπελ[άζ]οντες αὐτοῖς, σαρκῶν νοουμένων τῶν ὑλικῶν καὶ ἐμπαθῶν καταστάσεων. Οὐ γὰρ τὴν πρόχειρον σάρκα λέγει· οὕτω γὰρ ἂν συνέβ[α]ινεν μηδένα ἄνθρωπον μετέχειν τοῦ Πνεύματος τοῦ Θεοῦ. Ὅτι δὲ [ἔσ]τι[ν] ἄλλη 153 σὰρξ παρὰ ταύτην τὴν ὁρ[ω]μένην ἣν περικείμεθα, Παῦλος γράφει· "6Τὸ φρόνημα τῆς σαρκ[ὸς] ἔχθρα εἰς Θεόν· τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται, οὐδ[ὲ γ]ὰρ δύναται· οἱ δὲ ἐν σαρκὶ ὄντες Θεῷ ἀρέσαι οὐ δύναν- ται"6· εἰ γάρ τις σάρκα λάβοι τὴν ὁρωμένην, πολλοὶ σὺν αὐτῇ Θεῷ [ἤρε]σαν, οἱ ἅγιοι πάντες. Καὶ πάλιν λέγων "6Ὑμεῖς δὲ οὐκ ἐστὲ [ἐν σ]αρκί, ἀλλ' ἐν πνεύματι"6, τὴν ψεγομένην σάρκα σημαίνει· ἐν σαρκ[ὶ γὰρ ἦ]σαν ἔτι, 152 τοῦτο τῷ ζῆν ἔχοντες. [152]Εἶτα λέγεται σὰρξ ἣν περικείμεθα καὶ τὸ ἄλογον ζῷον καὶ ὁ ἄνθρωπος· 153 "6Ἐκχεῶ 153γὰρ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα"6, ἀντὶ τοῦ ἐπὶ ἀνθρώπους, "6καὶ ὄψεται πᾶσα σὰρξ τὸ [σω]τήριον τοῦ Θεοῦ"6. Λέγεται δὲ καὶ ἡ λέξις τῆς γραφῆς σάρξ· "6Ἡ σὰρξ"6 γάρ φησιν "6οὐκ ὠφελεῖ οὐδέν, τὸ πνεῦμά ἐστι τὸ ζωοπ[οι]οῦν"6. Ψιλῶς γὰρ ἡ γραφὴ λαμβανομένη καὶ αἰσθητῶς οὐ [ζω]οποιεῖ, ὡς εἰ λέγοιμεν ὅτι καὶ ὁ κατὰ γεωμετρίαν σχήματα π[οιῶ]ν ὠφελεῖ, ὁ δὲ μόνον ἄνευ λόγου τοῦτο ποιῶν ἐλάττων ἂν εἴη ζωγράφου. 152 Ἐπεὶ οὖν πολλοὶ οἱ ἄνθρωποι γεγενημένοι φαυλ[ότη]τος ἦσαν πλήρεις, οὐ μὴ κατοικήσει, φησίν, τὸ πνεῦμά μου ἐν αὐτοῖς· "6Ἅγιον γὰρ πνεῦμα παιδεί[α]ς φεύξεται δόλον"6· χείριστον δὲ πάθος ὁ δόλος· ἀπρονοή- τως γὰρ βλάπτει. Τὸ δ' "6εἰς τὸν αἰῶνα"6 σημαίνοι ἂν τὸ διὰ βίου αὐτῶν ὁπόσον τοιοῦτοί εἰσιν. Τούτῳ ἰσοδυναμεῖ τὸ "6οὐ [μ]ὴ φαγῶ κρέας εἰς τὸν αἰῶνα"6. Εἴτ' οὖν ἄνθρωποι ὑπὸ δαιμόνων ἐλαυνόμενοί εἰσιν 153 θυγατέρας δεξάμενοι, εἴτε, ὡς προαποδέδοται, οἱ ἄγγελοι αἰσθήσεων ἐπιθυμηταί, οὐδὲν τούτοις τὸ πνεῦμα καταμένει. Ὅσοι γὰρ πάθει καὶ ἁμαρτήμασιν ἐπὶ τούτῳ ἦλθον, δῆλον ὡς ἀμετόχως ἔχουσι π[ν]εύματος θείου· οὐδὲ γὰρ οἱ διὰ βοήθειαν ἐλθόντες πνεύματος θείου στέρονται. Εἰ δέ τις ξενίζοιτο ἐπὶ τῷ τὰς ψυχὰς ἀγγέλους εἰρῆσθαι, οὐ δεῖ θαυμάζειν· τὸ γὰρ νοερὸν ἀμφοτέρων ταὐτόν, κἂν ἄγγελος λεπτὸν ἔχῃ σῶμα, ὁ δὲ ἄνθρωπος παχύ· κοινὸν γὰρ ἀμφοτέροις τὸ Θεῷ ἀρέσκειν, ἐπεὶ καὶ τὸ τῆς λογικῆς φύσεως κοινόν. Εἰ δὲ καὶ ἔνστασίν τις κομίζοι ὅτι πῶς αἱ προϋπάρχουσαι ψυχαὶ σωμάτων ἐπεθύ- μησαν, ὧν οὐκ ᾔδεσαν, πρὸς ὃν λεκτέον ὅτι τὸ ἐπιθυμεῖν λέγεται πολλάκις οὐχ ὡς πάντως τοῦτο εἰς ὃ αἱ πράξεις ἄγουσιν ἐπιθυμεῖν. Πολλάκις γοῦν καὶ ἐπιτιμῶντες τοῖς οὐ καλῶς πολιτευομένοις [ὅτι] "3ἐπιθυμεῖς ἀπολέσθαι"3, οὐ τοῦτό φαμεν ὅτι "3αὐτὸ τοῦτο ποθεῖς"3 ἀλλὰ "3τοιαῦτα πράττεις ἃ ἄγει σε εἰς ἀπώλειαν"3. Εἰ οὖν τις λέγοι ὅτι ἐπεθύμησαν αἱ ψυχαὶ σώματα, οὕτω δεῖ δι[ανο]εῖσθαι ὅτι τοιαύτης καταστάσεως ὑπήρξαντο, ἥτις χρε[ία]ν εἶχεν 154 τῆς ἐν σώματι διαγωγῆς, ἀναξίων αὐτῶν οὐσῶν μετὰ πράξε[ω]ν τοιούτων ἐν χωρίῳ εἶναι μὴ τοιούτῳ. ηι, 3. Ἔσονται δὲ αἱ ἡμέραι αὐτῶν ἑκατὸν ε[ἴκ]οσι ἔτη. Πᾶν ὃ ποιεῖ καὶ λέγει Θεός, κρίσει τιν[ὶ] ἀληθινῇ καὶ πο[ι]εῖ καὶ λέγει. Ἐπεὶ οὖν ὡς ἀναγκαῖον λέγ[ει τ]ὸ "6ἔσονται αἱ ἡμέραι αὐτῶν ἑκατὸν εἴκοσι"6, οὐ φα[ίνε]ται δὲ τοῦτο, ἀναγκαῖον ἑτέρως θηρεῦσαι τὴν τοῦ προ[κει]- μένου διάνοιαν. Οἱ παραλαμβανόμενοι ἐν ταῖς γραφαῖς ἀριθμοὶ οὐχ ὡς ἔτυχεν παρελήμφθησαν, ἀλλὰ λόγου τινὸς χ[άρ]ιν· πολλάκις οὐδ' οἰκείως τῇ ἱστορίᾳ εἰσά- γονται, λόγου τ[ιν]ὸς ἕνεκα παραλαμβανόμενοι. Τὸ γὰρ εἰπεῖν "6Κατέλιπον [ἐμ]αυτῷ ἑπτακι<σ>χιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν [γό]νυ τῇ Βαὰλ"6 τὴν ἱστορί[αν] οὐκ ἔχον–οὐδὲ γὰρ ἐλάνθανον τοσοῦτοι τὸν ἅγιον– διẹλήμφθη τῆς διανοίας χάριν δηλούσης ὅτι πᾶς ὁ ὑπερβὰς τὰ αἰσθητὰ καὶ τὸν ἐν ἓξ ἡμέραις γενάμενον κόσμον, ἐν τῇ ἑβδομάδι τῇ ἀναγωγικῇ γεγενημένος, ὑπὸ τοῦ Θεοῦ καταλείπεται σκοπὸς τῶν ἄλλων καὶ ὄφελος. Οὕτω καὶ ὁ ἓξ ἀριθμὸς εἰς τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γένεσιν τọῦ̣ ̣κόσμου παρείλημπται ὡς τέλειος, καθὰ καὶ ἐν τοῖς φθάσασιν εἴρηται. Καὶ τὸ "6Ἑξάκις ἐξ ἀναγκῶν ἐξελεῖται"6 οὐ διὰ τὸν ἀριθμὸν ἢ διὰ τọ̀ ̣τοσαυτάκις ῥύεσθαι ἀπὸ ἀναγκῶν εἴρηται, ἀλλ' ἐπεί, ἕως τις ẹ̓ṿ τοῖς πράγμασιν τοῦ ἐν ἓξ γενομένου ἐστίν, ὑπὸ ἀνάγκας ἐσṭίν, οὕτως εἴρηται· τῆς κατα- παύσεως, ἣ διὰ τοῦ ἑβδόμου δηλοῦται, κάθạṛσιν οὐκ ἔχουσιν, ὡς εἴρηται τοῖς μαθηταῖς πρὸς τοῦ Σωτῆρος· "6Οὐχ [ὑμεῖς] ἐστὲ ἐκ τοῦ κόσμου τούτου"6 ὑπερβάντες τὰς ἐν αὐτῷ [ἀνά]γκας. Ταῦτα δὲ προκατεσκευάσθη πρὸς τὸ δειχθῆναι ὡς οὐ μάτην ὁ ἑκατὸν εἴκοσι ἀριθμὸς ἐνταῦθα παρείλημπται· 155 δεῖ δὲ καὶ τοῦτο ἐπ̣ιτηρεῖν, ὅτι ἡ γρα[φὴ] παραλαμβάνουσα τοὺς ἀριθμοὺς συνάπ̣ṭει αὐτοῖς οἰκεῖα ὡ[ς ἐπ]ὶ τοῦ ἐν ἓξ ἡμέραις κόσμου γεγενημένου. Λάβωμέ[ν τι] παρά- δειγμα. Οὐ γὰρ φέρε εἰπεῖν ἐν ἓξ ἀγγέλοις ἢ ἐ[ν ἓξ] μονάσιν ἢ ἐν ἓξ ἀνθρώποις <π>εποίηκεν ὁ Θẹὸς τὸν κόσμον· χ[ρόνος] γὰρ ἐδηλοῦτο. Προσφόρως οὖν ἐν ἓξ ἡμέραις εἴ[ρηται δ]ιὰ τὸ ἕπεσθαι τῇ γενέσει χρόνον, οἰκείως τῇ ἡμ[έρạ συγχ]ρώμενος, ἵνα μὴ ἔτη ἢ μῆνας ἢ ὥρας· τὸ μὲ[ν γὰρ ἀ]νάξιον τοῦ Θεοῦ, τὸ δὲ ἀτελοῦς ὄνομα· μὴ γὰρ εἰδ[ότες ἡ]μέραν τί ἐστιν, ὥραν ἠγνοοῦ- μεν. Καὶ ἐνταῦθ[α δέ], ἐπεὶ περὶ ζωῆς ἦν, ἐτῶν ἐμνη- μόνευσεν. Κα[ὶ ⋯ ὁ] πολὺς λέξει ὡς συντέμνων ὁ Θεὸς αὐτῶν τὴν [ζωὴν] εἰς ἑκατὸν εἴκοσι αὐτὴν περιέστησεν, τῶν π[ροτέρ]ων πολλοῖς ἔτεσιν ἐπιβιούντων· ἀλλὰ τοῦτο [οὐ προ]σῆκεν· φαίνονται γὰρ πλείονα ἔτη ζήσαντες. Ἴ[δωμε]ν τοίνυν τὸ ἰδίωμα τοῦ ἀριθμοῦ. Λέγεται τοίνυν ὅ[τι οὗτος] ὁ ἀριθμὸς ἐκ τῶν ἑαυτοῦ μερῶν συντεθέντων δι[πλασιά]ζεται· ἐὰν γὰρ συντεθῇ τὸ ἥμισυ, ὅ ἐστιν ἑξήκον[τα, τρ]ίτον ¯μ, τέταρτον ¯λ, πέμπτον εἴκοσι τέσσερα, ἕκτο[ν] εἴκοσι, ὄγδοον δέκα πέντε, δέκατον ¯ι¯β, δωδέ- κατ[ον] ¯ι, πεντεκαιδέκατον ὀκτώ, εἰκοστὸν ¯ς εἰκοστο- τέ[ταρ]τον πέντε, τριακοστὸν τέσσερα, τεσσερακοστὸν τρεῖς[, ἑξ]εκοστὸν δύο, ἑκατοστοεικοστὸν ἕν, ἀποτελεῖ τὸν δ[ιακό]σια τεσσεράκοντα, διπλασίονα ὄντα τοῦ ἑκατὸν εἴκο[σι, οὗ] τὰ μέρη δέκα πέντε τυγχάνει, ὅσπερ δέκα πέντε αὐ̣[ξόμ]ενος κατὰ παραύξησιν ποιεῖ τὸν ἑκατὸν εἴκοσι. Ὁ δὲ δέκ[α π]έντε ὅτι εἰς τὸν τελειότατον βαθμὸν 156 παρελήμφθη, δῆλόν ἐστιν· τοῦ γὰρ [αὐ]τοῦ ἀριθμοῦ ἓξ βαθμοί *** Ἀλλὰ καὶ τὸ "6δὸς μερίδα τοῖς ἑπτά"6, [ὅπε]ρ δηλοῖ τὰ τῆς παλạịᾶς διαθήκης, "6καί γε τοῖς ὀκτώ"6, ὅ[περ] ἀναστασίμου [καὶ] καινῆς διαθήκης ἐστὶν σύμβολ[ον, τ]ὸν δέκα πέντε [συ]νάπτει. Ἰουδαῖοι γοῦν τὴν πα[λαιὰ]ν μόνον δεχόμẹνοι τοῖς ἑπτὰ διδόασιν μερίδα, [μὴ] ἀκούοντες τοῦ καὶ τοῖς ὀκτὼ αὐτὴν διδόναι· ἀλλὰ [καὶ οἱ ἑ]τερόδοξοι ἀθετοῦντες τὴν παλαιάν, τοῖς ὀκτὼ μ[ερίδα] διδόντες, παραιτοῦνται τοῖς ἑπτὰ παρέχειν· τοῦ ἐκ[κλησια]στικοῦ ἀμφοτέρας δεχομένου τὰς διαθήκας, ἀ[μφοτέ]ροις μερίδα δίδωσιν. Ἐπεὶ οὖν καὶ ὁ ἑκατὸν εἴκοσι [ἀριθμὸς] διπλασιάζεται, σύμβολον ὑπάρχει διδασκαλ[ίας διε]γειρούσης ἐπὶ τὴν ἀληθῆ ζωὴν κατά τε πρᾶξιν [καὶ θε]ωρίαν τιμ̣ωṃέν[η]ṿ, ἵνα διπλασιάσαντες τὸν βίο[ν τὴν] ζωὴν ταύ̣την ἔχωσιν διὰ τοῦ ἀριθμοῦ δηλουμ[ένην, ἵ]ν' ᾖ τὸ λεγόμενον ὅτι ὁ μὴ καὶ πράξει καὶ θεωρίạ ζῶ[ν οὐ ζῇ], ἀλλὰ καθάπερ ἡ σπαταλῶσα τέθνηκεν. ηι, 4. Οἱ δὲ γίγαντες ἦσαν ἐπὶ τῆς γῆς ἐν τα[ῖς ἡ- μ]έραις ἐκείναις καὶ μετ' ἐκεῖνο, ὡς ἂν εἰσεπορεύοντο [οἱ] υἱοὶ τοῦ Θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων καὶ ἐγέννων ἑ[αυτοῖ]ς· ἐκεῖνοι ἦσαν οἱ γίγαντες οἱ ἀπ' αἰῶνος, οἱ ἄνθρωποι οἱ [ὀνο]μαστοί. Οἱ μὲν ἔξω τῆς πίστεως γίγαντας εἰσάγοντες ἀ[πὸ μ]ύθων τοῦτο εἰσάγουσι<ν>, ἐν δὲ τῇ θείạ γραφῇ ἀντὶ ἰσχυρῶν ἀ[νθρώπων] ὀνομάζονται. Ἐν γοῦν τῷ Ἠσαΐạ ἀπειλῶν ὁ Θεὸς ἀφαιρήσειν [το]ύτων τὰ χρήσιμα, ἐπεὶ τούτου ἄξιοι ἐτύγχανον, συν[άπτ]ει καὶ γίγαντα καὶ ἰσ- χύοντα ἐν τοῖς ἀφαιρουμένοις. Καὶ [τὸν] Γολιὰδ δὲ οὕτως ἐκάλεσεν μαρτυρήσασα ἡ γραφὴ ὅ[τι ἰ]σχυρὸς ὑπῆρχεν καὶ πολεμιστής. Ἀλλὰ καί, ὅτε Μωσῆς ἐξέ- 157 [γρ]αψεν τοὺς κατασκόπ[ου]ς εἰς τὴν πολεμίαν ἀπαγ- [γέλλ]οντας, περὶ τῆς χώρας ἔλεγον· "6Ἀλλὰ καὶ υἱοὺς γιγάντων ἑω[ράκ]αμεν ἐκεῖ"6, εἶθ' ἑρμηνεύοντες τὸ μέγε- θος αὐτῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔλεγον· "6Κα[ὶ ἦμ]εν ἐνώπιον αὐτῶν ὡσεὶ ἀκρίδες"6. Οὕτ̣ω̣ς μεγαλοσώμ[ατ]α αὐτοὺς εἶναι μαρτυρεῖ. Καὶ εἰμ̣ὲ̣ν̣ ἐ̣πι<τε>τευγμένως ε[ἴρη]ται ὡς ὀργάνοις δαίμονες ἐχρῶντ̣ο̣ [ἀ]νθρώποις ἐμπαθέσι[ν, λέ]γοι ἄν τις ὅτι πρὸς ἔλεγχον αὐτῶν τῆ[ς] σωματικωτάτη[ς ἕξ]εως τηλικοῦτοι ἀπεγεννήθησαν αὐτοῖς, οἳ καὶ "6ὀνο[μαστο]ὶ"6 ἐκαλοῦντο "6ἀπ' αἰῶνος"6, δηλοῦντος τοῦ "6ἀπ' αἰῶνος"6 τ[ὸ πολ]υχρονίως τὸν περὶ αὐτῶν ὡς μεγαλοσωμάτων λόγ[ον ἐκφ]έρεσθαι. Εἰ δὲ καὶ γίγαντας λέγοις <αὐ>τοὺς διὰ τὸ τῆ[ς ἕξεως] φαῦλον καλεῖσθαι, οὐκ ἂν ἔξω λόγου εἴη τὸ λεγόμ[ενον, οἵτ]ινες κατὰ κακίαν τοὺς ὑφ' ἑαυτοὺς ἐγέννων, ἐπ[ὶ μέγεθ]ος φαυλότητος ἀλείφοντες. Εἰ δὲ τὸ "6μετ' ἐκεῖνο"6 ὑ[πάρχ]ον ἐν τῷ προκειμένῳ πρὸς τῷ χρόνῳ δηλοῖ καὶ τ[ὸ μετ]ὰ τὸ κεχωρίσθαι αὐτῶν τὸ πνεῦμα περὶ ο̣ὗ̣ εἶπεν ὁ [Θεός· "6Οὐ] μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐντοῖς ἀνθρώποις τούτοις [διὰ τὸ] εἶναι αὐτοὺς σάρκας"6, συνεπισκ[έ]ψαι· τότε γὰρ ἀλ[λοτρι]ω- θέντες τῆς μετουσίας αὐτοῦ, εἴτ' ἄνθρωποι εἴτε κα[ὶ ἄλλο]ι, γεννήματα εἶχον ἐπαιρόμενα κατὰ τῆς γνώ[μης] τοῦ Θεοῦ οὐ μόνον νοήματα ἀλλὰ καὶ ἀνθρώπους. η̣ι, 5–7. Ἰδὼν δὲ Κύριος ὁ Θεὸς ὅτι ἐπλ[ηθ]ύνθησαν αἱ κακία<ι> τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς καὶ πᾶς τις δ[ιανο]- εῖται ἐν τῇ καρδίᾳ αὐτοῦ ἐπιμελ̣ῶ̣ς̣ ἐπὶ τὰ πονηρὰ [πάσ]ας τὰς ἡμέρας, καὶ ἐνεθυμήθη ὁ Θεὸς ὅτι ἐποίησεν τὸ[ν ἄνθρωπ]ον ἐπὶ τῆς γῆς καὶ διενοήθη καὶ εἶπεν ὁ Θεός· Ἀπαλείψ[ω τὸ]ν ἄνθρωπον ὃν ἐποίησα ἀπὸ προσώπου τῆς γῆς ἀπὸ ἀνθρώπου ἕω[ς κτ]ήνους καὶ ἀπὸ ἑρπετῶν ἕως τῶν πετεινῶν τοῦ οὐρανο[ῦ, ὅτι] ἐθυμώθην ὅτι ἐποίησα αὐτούς. Ἀκολούθως, εἰ καὶ μὴ πρ[οαι]ρετικόν τι τὰ ἄλογα 158 ἔπραττον, μετὰ τοῦ ἀνθρώπου συ[ν]απόλλυνται, δι[' ὃν κ]αὶ γεγόνασιν πρὸς τ̣ὸ̣ αὐτοῦ χρείας ἐκτ̣ε̣λεῖν, ζωπύρου κ[ατα]λιμπανομένου μ[ε]τ̣ὰ̣ τοῦ Ν]ῶε καὶ ἀπ' α̣ὐτῶν. Ἀκολούθω[ς δὲ] καὶ διαφθείροντ̣α̣ι̣ ἄ[νθρωπο]ι, κακίας π̣λ̣ε̣ονασάσης ἐπὶ γῆ[ς, ὅτι] μετὰ τοῦ κακοῦ [τ]ῷ δια- νοεῖσθαι ἡμάρτανον, οὐ παρέ[ργως] ἀλλ' "6ἐπιμελῶ[ς"6 τ]α̣ῖ̣ς̣ ἁμαρτίαις χρώ̣μενοι. Ἐπιμελῶς [ἐξ]ετάσωμεν τὸ ε[ἰρη]θὲν ἄνωθεν ἀ̣ρξ̣ά̣μενοι· "6Ἰδών"6 φ[ησιν] "6Κύριος ὁ Θεὸς ὅτι ἐπλ[η]θύ̣νθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ [τῆς γῆ]ς."6 Ἆρα γὰρ πρότερο̣ν̣ οὐχ ἑώρα αὐτῶν τὰς κακίας; Ἀλ[λὰ δῆλο]ν ὅτι νῦν ἐπὶ ἐ̣κ̣δ̣ι̣κ̣ή̣σει τεθέαται. Ὅτε γὰρ οὐ βούλ[εται κόλ]ασιν ἐπιπέμψαι τ̣ο̣ῖ̣ς̣ ἁμαρτάνουσιν, λέγεται μὴ ὁρ[ᾶν αὐτού]ς, ἔστιν δ' ὅτε κ̣ο̣ι̣μᾶσθαι, ἄλλοις δὲ γρηγορένα[ι. Λέγεται] γοῦν ὑπό τ̣ι̣νος· "6Ἐ̣γρ̣ηγορήθη ἐπὶ τὰ ἀσεβήματά μο[υ"6, ἐπὶ δὲ π]ο̣λλὰ ἀσεβήμ̣α̣τ̣α̣ τ̣ὰ̣ς μακροθυμίας Θεοῦ πειραθείς, [παρελθόν]των τῶν ἐπιπό̣[νω]ν φησίν· "6Ἐγρηγορήθη ἐπὶ τὰ ἀσεβή[ματά] μου"6. Καὶ ἄλλος δέ τις εἶπεν ἅγιος· "6Ἐξηγέρθη ὡς ὁ ὑπνῶ[ν Κύριος], ὡς δυνατὸς κεκραιπαληκὼς ἐξ οἴνου"6· πολὺ γὰρ μ[ακρο- θ]υμήσας ἐπάγει ὑπερ̣βαλλόντως καὶ ἀθρόως τὰς κο[λάσει]ς τοῖς οὕτω δεομένοις, ὅπερ διὰ τὸ ἀθρόον καὶ πλῆθ[ος ἐξ]έγερσις καὶ κραιπάλη ἐξ οἴνου λέγεται. Ἰατροῦ γὰρ ἀγαθο[ῦ τυγ]χάνει τὸ καιρίως κεχρῆσθαι τοῖς πάθεσιν, ὅπερ διὰ τ[οῦ "6Ἰδ]ὼν δὲ Κύριος ὁ Θεὸς"6 δ[η]λοῦται. Εἰ δὲ πρόσκειται τὸ "6πᾶς τις [διανο]εῖται ἐν τῇ καρδίᾳ αὐτοῦ ἐπὶ τὰ πονηρά"6 καίτοι τοῦ Νῶε [οὐχ ο]ὕτως ἔχοντος, οὐ δεῖ ξενίζεσθαι· πρὸς γὰρ τὸ ὡς ἐπὶ [τὸ π]λεῖστον οὕτως εἴρηται, καθὰ καὶ τὸ "6πᾶς ἀδελφὸς πτέρ[νῃ π]τερνιεῖ καὶ πᾶς φίλος δολίως πορεύσεται"6· 159 δυνατὸν δὲ δ[ή, ἐ]πεὶ ὁ Νῶε οὐ κ̣αθόλο̣υ̣ ἄ̣ν̣θ̣ρ̣ω̣π̣ο̣[ς ἦν – ἀ]ναβεβήκει γὰρ [τὴν] ἀνθρώπων κατάστασιν–, τοῦτο εἰρῆσ̣[θαι ὡς] μὴ ὑποκειμέν[ου αὐ]τοῦ τῷ τῶν ἀνθρώπων καθόλου, θεοῦ [τυγχ]άνοντος καθὸ [εἴρητ]αι· "6Ἐκείνους θεοὺς εἶπεν πρὸς οὓς [ὁ λόγο]ς τοῦ Θεοῦ ἐγέ[νετο]"6. Τούτῳ ὅμοιον καὶ τὸ "6ἐγὼ εἶπα [ἐν] τῇ ἐκστάσει μ[ου· π]ᾶς ἄνθρωπος ψεύστης"6· θεὸς γὰρ ἦν, ὡς ἀ[ποδ]εδώκαμεν, ὁ τ[αῦτα] λέγων. Εἰ γὰρ μὴ οὕτως εἶχεν κα̣ὶ̣ [ἄνθρωπο]ς ψεύστης ἦν [¨ οὐ]κέτι ἀληθὲς τὸ "6πᾶς ἄνθρωπος ψ[εύστη]ς"6· ἀλλ' ἀληθεύ[ει μὲ]ν καὶ οὐκ ἔστιν αὐτὸς ἄνθρωπος ο̣ ̔ ὑ[περ]βὰς δι' ἀρετὴν [ἀνθρώπου] ὀνομασίαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καθὸ εἴρηται· "6῞Ọπ̣[ου γὰ]ρ ἔρις καὶ ζῆλ[ος, οὐχὶ ἄ]νθρωποί ἐστε, ὡς καὶ οὗτοι περι[πατεῖ]τε;"6 Οὐ γὰρ ὡς ἔ[τυχεν ἐπ]ράττετο παρὰ αὐτῶν ἡ κ̣[ακία] ἀλλ' "6ἐπιμελῶ[ς"6 καὶ βεβο]υλευμένως· τοῦτο γὰρ δηλ[οῖ τὸ "6ἐ]ν τῇ καρδίᾳ"6. [Ὡσαύτως] τὸ "6ἐκ νεότητος"6 διττῶς ἂ[ν νοη]θείη, ἤτοι ἐκ μ[ικρᾶς] ἡλικίας εἰς κακίαν ἀλειφόμ̣[ενοι], ἢ ὅτι οὐδεὶς τ[ῶν κατὰ] τὸν διαγραφέντα ἄνθρωπον π[ρεσβύ]της ἐστί, κἂν τὴ[ν φύσι]ν οὕτως ὑπάρχῃ, τὰ νεω[τεροπο]ιὰ καὶ ἐπιπόλαι[α προ]ταττόμενος· "6Γῆρας γὰρ τίμ[ιον οὐ] τὸ πολυχρόνιον [οὐδὲ ἀ]ριθμῷ ἐτῶν μεμέτρηται· π̣[ολιὰ] γάρ ἐστιν φρόν[ησις ἀ]νθρώ- ποις καὶ γῆρας βίος ἀκηλίδωτ̣[ος"6. Οὐ]κ ἀνοικείως δὲ [καὶ τὸ "6ἁ]μαρτίας νεότητος καὶ τὰς [ἀγνοία]ς μου μὴ μνησθ[ῇς"6 ἑρ]μηνεύσεις λέγων ὅτι ὅσα [πονηρ]ῷ ἤθει ἔπραξα [μὴ μ]νησθῇς. Τούτων οὕτως εἰ[ρημέν]ων ἄξιον θεωρῆσ[αι τί δ]ηλοῦται ἐκ τοῦ "6ἐνεθυμήθη [ὁ Θεὸς ὅ]τι ἐποίησεν τὸν [ἄνθρωπον] ἐπὶ τῆς γῆς καὶ διενοήθη"6 καὶ "6ἐ[θυμώθ]ην ὅτι ἐποίησα α[ὐτούς]"6, ὅπερ ἰσοδυναμεῖ τῷ "6μετε[μελήθ]ην ὅτι ἔχρισα τὸ[ν Σαο]ὺλ εἰς βασιλέα"6. Λεκτέον [δὲ ὅτ]ι̣ ἀνθρωπο- 160 πα[θῶς πε]ρὶ Θεοῦ λέγεται καὶ οὐχ οὕτως ὡς αἱ λέξεις καὶ ἡ νόησις ἔχε[ι. Ἐ]ὰν γὰρ περὶ χειρω̣[ν] καὶ ποδῶν καὶ ὀφθαλμῶν καὶ [ὤτω]ν ἐν τῇ γραφῇ μ[ετα]φέρηται, οὐ δεῖ οἴεσθαι ἀνθρ[ωπ]ίνως ἐσχημα[τῖσθαι] τὸν Θεόν, ἀλλὰ δῆλον ὡς δυν[άμε]ις αὐτοῦ δραστ̣ι̣κὰ̣ς τὰς χεῖρας καὶ τὸ ἀναπόδρασ[τον ὀ]φθαλμοὺς καὶ ού̣τ̣ω̣ς ἕκαστον ὡς περὶ δυνάμεως [ἐκλη]μψόμεθα Θεοῦ ··· ··· · εἰ καὶ καθ' ἑτέραν διάνοιαν το[ὺς ἐν τ]ῇ ἐκκλησίᾳ διο[ρατικοὺς] ὀφθαλμοὺς αὐτοῦ καὶ τοὺς πρα[κτικοὺ]ς χεῖρας καὶ τὰ̣ λ̣ο̣ι̣π̣ὰ̣ ὁμοίως. Καὶ γὰρ τῷ ὄντι ἐπὶ μ[ὲν τῶν] αἰσθητῶν ἕκασ[τον τῶν] ὀνομαζομένων οἷον ξύλον μ[όνον] τι σημαίνει, ἐπὶ δ[ὲ τοῦ] Θεοῦ πλειόνων ὀνομάτων λεγο[μένων], ἃ νοεῖσθαι προίσ[τησι] λόγῳ τὰ διάφορα περὶ αὐτοῦ· [οὕτω]ς γὰρ ὁ Θεὸς καὶ πν[εῦμα καὶ πη]γὴ καλεῖται καὶ πάλιν χεῖρα[ς καὶ] πόδας ἀνάγετ[αι ἔχειν]· οὐδήπου δέ, εἴπερ αἰσθητόν τ[ι ἔτυ]χον, τοσαῦτα ἦσ̣[αν αὐτοῦ] τὰ ὀνόματα· οὐ γὰρ τὸ φῶς ἢ τὸ [πνεῦμα ἢ ἡ] πηγὴ χεῖρας ἔχο̣[υσιν]. Καὶ ἐπὶ τοῦ διενοήθη καὶ μετε[μελήθη] ὡς περὶ ἀτρέπτου [νοή]σομεν. Ὅνπερ γὰρ τρόπον καὶ ἄ[νθρωποι τὴν] ἔμφασιν παρασ[τῆσαι] βουλόμενοι τοῖς ὑφ' ἑαυτῶν διδ[ασκομέ]νοις ἁμαρτήμ̣α̣τ̣[ος ὅτι] μεγάλως ἐσφάλησαν καὶ ἀνάξι[οί εἰσι] μαθημάτων λέ[γουσι]· Μετεμελήθην ὅτι τὰ τηλικαῦ[τα σοι π]αραδέδωκα, εἰς ἐ[πίγνω]σιν τοῦ πταίσματος αὐτὸν ἀγαγ[όντες, τ]ὸν αὐτὸν τρόπον [καὶ ὁ] Θεὸς οὐ πάθος ὑπομένων μετα[μέλεσ]θαι λέγεται, ἀλ[λὰ δι'] ἔμφασιν τοῦ μεγέθους τοῦ ἁμ[αρτή- μ]ατος. Οὐδὲ γὰρ ἠγ[νόει ὅ]τι τοιοῦτοι ἔσονται, ἀγαθότητι δ[ὲ ἐθε]ώρει εἴ πως ἐκ τῶ[ν νό]μων τῶν κατὰ διάνοιαν ἐπιγρα[φέντων]. Εἰκόνι δὲ χρησό̣[μεθα] πρὸς τὸ μὴ αὐτοῦ εἶναι πάθος το[ῦ Θεοῦ ἀ]λλὰ τῶν μεταβαλ[λομέ]νων τοιαύτη. Ἔστω τις σοφὸς ε[····]·ιοις πάλιν ·····[····] τιθέμενος, εἰ συμβαίη τινὰς τ[·····]ιδων ········ [····] καὶ διὰ τοῦτο ἀποκλήρους, οὐκ αὐτ[ὸς ἐπὶ] τῶν 161 μ̣ετ̣αβληθ[έντων] τ]ῇ γνώμῃ μετέβαλεν, εἰς τοὺς δικαίους μ̣όνους ἐλθούσης τῆς] περιουσίας· τοῦτον γὰρ ἐξ ἀρχῆς εἶχεν τὸν σκοπόν. Εὖ δὲ τὸ "6ἀπαλείψω τὸν ἄνθρωπον ὃν ἐποίησα ἀπὸ προσώπου τῆς γῆς"6· οὐ γὰρ εἰς ἀνυπαρξίαν αὐτὸν περιάγει, οὐδὲ κατὰ ψυχὴν ἀπαλείφει, ἀλλ' ἀπὸ γῆς. Οὐ τοῦτο δὲ μόνον ἔργον ἐστὶ Θεοῦ τό, ἐπιπολασάσης κακίας, ἀναιρεῖν τοὺς ἀνθρώπους, ἀλλὰ καὶ διὰ συμβόλου ἀπόλλυσιν τὸν ἐν τῇ γῇ κατοικοῦντα φαῦλον ὄντα· κάτοικος γὰρ γῆς ὁ φαῦλος, τοῦ ἁγίου οὐ κατοίκου ἀλλὰ παροίκου τυγχάνοντος. Οὕτω γοῦν καὶ ἐν Ἰερεμίᾳ λέγεται· "6Ἐκκαυ-θήσεται τὰ κακὰ ἐπὶ τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς"6, τοὺς ῥιζώσαντας ἐπὶ γῆς, ὅπερ οὐ παθὼν ὁ ἅγιός φησιν εὐχαριστῶν· "6Παρὰ βραχὺ συνετέ[λε]σάν με ἐν τῇ γῇ"6, καὶ ἐν τῇ Ἀποκαλύψει δὲ λέγεται· "6Οὐαὶ ἐπὶ τοὺς κατοικοῦντας τὴν γῆν"6, οὐ τοὺς παροικοῦντας· σκοπὸς δὲ Θεοῦ ἀπὸ τῶν γηΐνων τὸν ἄνθρωπον ἀποσπᾶσαι, κἂν αὐτὸς τῶν γηΐνων ἀντέχηται.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ηι, 8. Νῶε δὲ εὗρεν χάριν ἐναντίον Κυρίου τοῦ Θεοῦ. Μέγα καὶ οὐράνιόν ἐστιν τὸ εὑρεῖν χάριν ἐναντίον τοῦ Θεοῦ, τοῦτο δὲ κατορθοῦται ἐκ τῆς πρὸς αὐτὸν ἀρεσκείας, ᾧ ἕπεται καὶ τὸ ἀνθρώποις ἀρέσ̣κ̣ε̣ιν, τοῦ ἀρέσκοντος ἀνθρώποις οὐ πάντως Θεῷ ἀρέσκοντος. Ὅρα γὰρ τί ὁ μακάριος Παῦλός φησιν· "6Εἰ ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην"6, καὶ ὁ ψαλμῳδός· "6Κύριος διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων"6· οἱ δὲ ἐκ Θεοῦ τὴν χάριν ἔχοντές φασιν· "6Ὃς ἐχαρίτωσεν ἡμᾶς σὺν τ[ῷ] ἠγαπημένῳ"6, ἅμα καὶ Μαρία ἀκούει πρὸς τοῦ ἀγγέλου· "6Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ"6. Αὕτη γάρ ἐστιν ἡ χάρις τὸ ἔ̣χειν μεθ' ἑαυτοῦ τὸν Κύριον· ἔχει δὲ μεθ' ἑαυτοῦ τὸν Κύριον ὁ δι' ἀρε[τὴ]ν καὶ πράξεις ἐναρέ- τους λέγων· "6Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ [λα]λοῦντος Χριστοῦ"6. Αὐτὸς γὰρ δίδωσιν χάριν καὶ εἰρήνην· τοῦτο 162 γὰρ [ἐ]πεύχεται ὁ ἅγιος λέγων· "6Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ"6. Δίδωσιν δὲ Θεὸς τὸ δῶρον τοῦτο, ἡμῶν τὴν ἀφορμὴν τοῦ λαβεῖν αὐτὸ παρεχόντων. Εἴρηται γοῦν ἐν Παροιμίαις· "6Χάρις καὶ φιλία ἐλευθεροῖ, ἃς τήρησον σεαυτῷ, ἵνα μὴ ἐπονείδιστος γένῃ"6· ἐν γὰρ τῇ τῆς προαιρέσεώς ἐστιν ἐξουσίᾳ †·τιη† τηρῆσαι αὐτὰς καὶ κατορθῶσαι. Οὕτως οὖν καὶ Νῶε ἐκ τῆς οἰκείας προπαρασκευῆς εὗρεν χάριν ἐναντίον Κυρίου τοῦ Θεοῦ, αὐτὸς διὰ τῶν τῆς ἀρετῆς ἔργων χαριτώσας ἑαυτὸν καὶ ἐκ τούτου δεξάμενος παρὰ Θεοῦ χάριν· τοῖς γὰρ ἀφ' ἡμῶν κατορθουμένοις καὶ ἀνυομένοις συνέργων ὁ τῶν ὅλων Θεὸς προστιθεὶς ἐπι- κοσμεῖ καὶ εἰς μέγεθος ἀγαθοῦ ἄγει. Τοῦτ' αὐτὸ εἰδότες οἱ τοῦ Σωτῆρος μαθηταὶ ἤδη δι' ἑαυτῶν προκατορθώσαντες τὴν εἰς αὐτὸν πί[σ]τιν ἔλεγον αὐτῷ εἰδότες ὅτι καὶ θεοδώρητος πίστις ἐστίν· "6Πρόσθες ἡμῖν πίσ̣τ̣ι̣ν̣"6. Ὡς γὰρ λόγος σοφίας δίδοται διὰ τοῦ πνεύματος καὶ λόγος γνώσ̣εως κατὰ τὸ πνεῦμα, οὕτω καὶ πίστις ἐν τῷ αὐτῷ πνεύματι. Ἀδύνατον γάρ ἐστιν δέξασθαι τὴν ἐκ Θεοῦ κατὰ χάριν διδομένην πίστιν μὴ ἔχοντα τὴν ἐκ τοῦ ἐφ' ἡμῖν συνισταμένην. Τοῦτ' αὐτὸ γὰρ δηλοῦται ἐκ τοῦ "6πρόσθες ἡμῖν πίστιν"6· ἀλλὰ γὰρ καὶ Ἠσαΐας ἐκ προσώπου τοῦ ἀνθρώπου τοῦ κυριακοῦ, ἔστω δὲ καὶ ἐκ τοῦ ἰδίου, φησίν· "6Προσέθηκέν μοι ὠτίον τοῦ ἀκούειν καὶ ἡ παιδεία Κυρίου διανοίγει μου τὰ ὦτα"6· ἡ γὰρ πρὸς τοῦ Θεοῦ διδομένη ἀκοὴ καὶ παιδεία δ[ι]ανοίγει καὶ ταῦτα τὰ ὦτα πρὸς τὸ τὴν διάνοιαν θειότερον ἀκούειν. Οὕτω καὶ τὸ "6χάριν ἀντὶ χάριτος"6 νοήσομεν, τὴν ἐκ Θεοῦ ἀπὸ τῆς ἐφ' ἡμῖν προσγινομένην νοοῦντες. Εὖ δὲ καὶ τὸ "6εὗρεν"6 εἴρητα[ι, ἵ]να δειχθῇ ὅτι ζητήσας δεόντως εὗρεν, τῶν μὴ ὃν δεῖ τρόπο[ν] ζητούντων οὐχ εὑρισκόντων· "6Ζητήσουσίν με"6 γάρ φησιν "6κακοὶ καὶ οὐχ εὑρήσουσιν"6. Ἐντεῦθεν δὲ γνωρίζεται ὅτι καλῶς ἐζήτησεν ἐκ τῆς τοῦ Θεοῦ ἐπικρίσεως καὶ δωρείας, ὅταν ὥσπερ ἐπισφραγίζων αὐτὸς τὴν χά̣ριν δῷ· "6Οὐ"6 γὰρ "6τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος ἀλλὰ τοῦ ἐλεοῦν̣τ̣ος 163 Θεοῦ"6, καὶ "6Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν̣ οἱ οἰκοδομοῦντες αὐτόν"6. ηι, 9. Αὗ̣ται δὲ αἱ γενέσεις Νῶε. Νῶε ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ τῷ Θεῷ εὐηρέστησεν Νῶε. Τοῦ δικαίου ἡ γενεαλογία οὐκ ἔστιν τοσοῦτον ἐξ ἀνθρώπων ὅσον ἐξ ἀρετῶν· αὗται γὰρ αὐτοῦ προηγούμενα γεννήματα. Τοῦτό τοι διδάσκει τὸ συγγραφικὸν πνεῦμα· προκειμένου γὰρ ὄντος τοῦ τὰς γενέσεις τοῦ Νῶε εἰπεῖν, ἐπήνεγκεν· "6Νῶε ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ τῷ Θεῷ εὐηρέστησεν"6. Τί δὲ δηλοῦται ἐκ τοῦ "6τέλειος ἐν τῇ γενεᾷ αὐτοῦ"6, ἴδωμεν. Καὶ κατὰ μὲν πρώτην ἀπόδοσιν λέγοι ἂν ὅτι, τῶν ἀνθρώπων τῶν κατ' αὐτὸν αὐτοῦ καιρὸν εἰς ἄμετρον κακίαν ἐπιδεδωκότων, ἐκ τῆς πρὸς αὐτοὺς συγκρίσεως τέλειος ἦν, ὅπερ οὐ μέγα τυγχάνει, εἰ πρὸς ἀπεγνωσμένους συγκρίνοιτο, τάχα δυναμένου λεχθῆναι ὅτι τῶν σὺν αὐτῷ εἰς τὴν κιβωτὸν εἰσελθόντων διαφέρων τέλειος ἐλέγετο· καὶ γὰρ εἰκὸς αὐτοὺς εἶναι τοιούτους ἐκ τῆς πρὸς τὸν ἅγιον συνηθείας. Λεχθείη δὲ καὶ οὕτως· γενεὰ τοῦ δικαίου ἐστὶν ἡ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὁμοιοτροπία, καὶ τοῦτο σημαίνεται ἐκ τοῦ "6Αὕτη ἡ γενεὰ ζητούντων αὐτόν"6· εἰπὼν γὰρ "6Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ; ἀθῷος χερσὶν καὶ καθαρὸς τῇ καρδίᾳ"6 καὶ τὰ ἑξῆς, ἐπήγαγεν· "6Αὕτη ἡ γενεὰ ζητούντων αὐτόν"6, τοὺς τῇ αὐτῇ κεκοσμένους ἀρετῇ μίαν γενεὰν εἰπών. Τούτῳ κατὰ τὸ ἐναντίον ἀναλόγως ὅμοιόν ἐστιν τὸ λεγόμενον· "6Υἱοὶ τοῦ αἰῶνος το[ύ]του φρονιμώτεροί εἰσιν τῶν υἱῶν τοῦ φωτὸς ἐν τῇ γενεᾷ τῇ ἑαυτῶν"6· γενεὰ γὰρ τῶν τοιούτων ἡ ὁμοία κατάστασις καὶ πολιτεία. Δεῖ δὲ οὕτως ἀκούειν τέλειον ὡς ἐν ἀνθρώποις, ὅπερ τέλειον ὁ Παῦλος ἐκ μέρους γιγνώσκειν ἔφη, λέγων περὶ τοῦ τελείου· "6Ὅταν ἔλθῃ τὸ τέλειον, τὸ ἐκ μέρους 164 καταργηθήσεται"6· πᾶσα ἡ ἐν ἀνθρώποις κατορθουμένη τελειότης ὡς πρὸς τὸ ἐν τῷ μέλλοντι αἰῶνι τέλειον ἐκ μέρους ἐστίν. Καὶ ἔστω ἐπὶ παραδείγματος σαφὲς τὸ λεγόμενον· ὁ ἐν τοῖς πρώτοις γράμμασιν τέλειος ὡς πρὸς τὸν γραμματικῶν λόγων ἀκούοντα ἀτελής ἐστιν. Καὶ αὐτὸς δὲ ὁ Ἀπόστολος λέγων "6Ἐκ μέρους γιγνώσκομεν καὶ ἐκ μέρους προφητεύομέν"6 φησιν περὶ ἑαυτοῦ καὶ τῶν ὁμοίων· "6Ὅσοι οὖν τέλειοι τοῦτο φρονῶμεν"6, καὶ "6Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις"6· ὡς γὰρ πρὸς τὴν ἐντῷ μέλλοντι, ὡς ἔφαμεν, γνῶσιν "6πρόσωπον πρὸς πρόσωπον"6 οὖσαν ἀτέλης ἡ ἐνταῦθα ὑπάρχει πολιτεία, κἂν εἰς ἄκρον φθάσασα τυγχάνῃ. Τὸ δὲ δίκαιον καὶ τὸ τέλειον καὶ τὸ εὐαρεστεῖν τῷ Θεῷ περὶ τοῦ Νῶε λεγόμενον ἅμα ἐκλαμβάνειν δεῖ, κἂν τὰ ῥήματα τάξιν ἔχῃ· "6δίκαιος"6 γὰρ καὶ "6τέλειος ὢν"6 τὴν πρὸς Θεὸν εἶχεν εὐαρέστησιν· προεπινοεῖται δὲ τῆς εὐαρεστήσεως τὸ τέλειον καὶ δίκαιον· οὐ γὰρ ὅτι εὐηρέ- στησεν, γέγονεν δίκαιος καὶ τέλειος, ἀλλ' ὅτι δίκαιος καὶ τέλειος ἀνεφάνη, ἀποδέδεικται εὐαρεστῶν τῷ Θεῷ. Εἰ δὲ καὶ τηλικαύτης ὑπάρχων ὁ Νῶε καταστάσεως ἄνθρωπος εἴρηται, οὐ δεῖ ξενίζεσθαι, πολλάκις ἡμῶν παρατηρησαμένων ὅτι πλείονα σημαίνει τὸ τοῦ ἀνθρώπου ὄνομα· οὐ γὰρ ἐπὶ ψεκτοῦ μόνου, ὡς εἴρηται· "6Ὅπου γὰρ ἔρις καὶ ζῆλος ἐν ὑμῖν, οὐχὶ ἄνθρωποί ἐστε καὶ κατὰ ἄνθρωπον περιπατεῖτε;"6 καὶ περὶ τοῦ ἐπ[ι]σπείροντος δὲ διαβόλου κακὰς ἐννοίας εἴρηται· "6Ἐχθρὸς ἄνθρωπος τοῦτο ἐποίησεν"6· ἐνταῦθα δὲ πρὸς τῷ τὴν φύσιν δηλοῦν ἔτι καὶ τὸν κυρίως ἄνθρωπον σημαίνει τὸν σῴζοντα τὸ "6κατ' εἰκόνα"6. Εὖ δὲ καὶ τὸ "6τέλειος ὢν τῷ Θεῷ εὐηρέστησεν"6· 165 ἤδη γὰρ τελειότητος ἐπειλημμένος εὐηρέστησεν τῷ Θεῷ, οὐ παντὸς εὐαρεστοῦντος τῷ Θεῷ εὐαρεστοῦντος, ἀλλ' ἐσθότε, καὶ δικαίοις ἀνδράσ[ι] καὶ ἄλλως ἀνθρώποις· καὶ γὰρ εἰ ἐπαινεῖται ὁ δικαίῳ ἀρέσκων, ἀλλ[ὰ] μετὰ τὸ τῷ Θεῷ ἀρέσκειν. ῃι, 10. Ἐγέννησεν δὲ Νῶε τρεῖς υἱοὺς τὸν Σὴμ τὸν Χὰμ τὸν Ἰάφετ. Τρεῖς μὲν υἱοὺς ἐγέννησεν καὶ τοσούτων γέγονεν πατὴρ ὁ Νῶε· οὐδὲ γὰρ πρὸ τούτου εἴρηται ἐσχηκέναι ἄλλο τέκνον. Καὶ τὸ μὲν ῥητὸν φανερόν· εἰ δὲ πρὸς ἀναγωγήν τις βλέποι, λέγοι ἂν ὅτι δύο τις γεννῶν ὑλικῆς ἕξεως ἂν εἴη σύμβολα τίκτων· τὰ γὰρ δύο τῇ ὕλῃ οἴκεια· διαιρετὴ γὰρ αὕτη· ὁ δὲ τριαγεννητικὸς τέ<λειος> λέγεται πρῶτος ὢν ἄρτιος εἰκόνα φέρων τοῦ δημιουργοῦ, δρα- στήριος γάρ, καὶ ἔτι ἡ ἀφαίρεσις ἀπ' αὐτοῦ ἑνὸς ἀριθμοῦ δυάδα ποιεῖ, ὡς δηλονότι κατὰ προσθήκην τὰ τρία γεγένηται· τοῖς δὲ ἀνθρωπίνοις, ἃ δηλοῦται διὰ τῶν δύο, εἰ προστεθείη λογισμός, οὐκέτι ὑλικὰ ἢ ἀνθρώπινα μένουσιν, ὀρθότητος μετέχοντα· οὐ γὰρ ἁπλῶς πράττειν δεῖ, ἀλλὰ καὶ λόγῳ ὀρθῷ, ἵν' ἔχῃ τὸν ἔπαινον. Δύναται δέ τις καὶ τροπολογῶν εἰς τὴν ψυχῆς τελείωσιν ταῦτα λαμβάνειν· δεῖ γὰρ πρότερον ἐγγενέσθαι τι τῇ ψυχῇ πάθος, εἶθ' οὕτω διάθεσιν γενέσθαι, καὶ οὕτως ἐπὶ τὴν πρᾶξιν ὁρμῆσαι· πάθος δέ φαμεν οὐ τὸ ψεγόμενον, ἀλλὰ τὴν ὡς ἂν ἐκτύπωσιν τῆς ψυχῆς ἐπὶ ἐνάρετον ὁρμήν· γίνεται δὲ καὶ ἐκ τοῦ ἐναντίου ταῦτα. Τρία οὖν ταῦτα γεννήματα τοῦ σπουδαίου· ἐάσθω γὰρ νῦν ἡ προπάθεια ὡς ῥοπὴν εἰς τὰ ἀδιάφορα ἔχουσα. Εἰ δὲ καὶ ταῖς ἑρμηνείαις τις ἐπιβάλλων εὐπορήσοι τινὸς ὠφελίμου, σκοπητέον. Ὁ μὲν οὖν Σὴμ ἑρμηνεύεται



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τέλειος, Ἰάφετ πλατυσμὸς ἢ καλλονή, Χὰμ δὲ τολμηρὸς ἢ προπετὴς ἢ θέρμη ἢ ἔκτασις. Ποῖα δὲ ἄλλα γεννήματα τῷ δικαίῳ ἥρμοζεν ὡς ἡ τελειότης πλατυσμός τε καὶ 166 καλλονή, ἅπερ ἅπαντα τῆς ἀρετῆς ἐστιν γνωρίσματα; Καλλονὴ γὰρ μετὰ πλατυσμοῦ συναπτομένη ἔξω ποιεῖ τῆς πλατείας ὁδοῦ, ἥτις ἐπὶ τὴν ἀπώλειαν ἄγει· εἰ δ' ὅτι ὁ Χὰμ ἑρμηνεύεται τολμηρὸς ἢ προπετὴς ἢ θέρμη ἢ ἔκτασις, εἴη μὲν ὡς πρὸς τὸν φαῦλον υἱὸν ἐπὶ ψόγου λαμβανόμενα οἴκεια τῷ ἐκείνου τρόπῳ, ὡς δὲ πρὸς τὸν τέλειον τῇ χρήσει σπουδαίως εἴλημπται· ἀβιαστικώτατον γὰρ ὁ ἐνάρετος, ἐπεὶ καὶ βιασταὶ τὴν βασιλείαν ἁρπάζουσιν· ἀλλὰ καὶ τολμηρὸς ὁ τοιοῦτος κατὰ τῶν ἐναντίων δυνάμεων κατὰ Παῦλον τὸν μακάριον λέγοντα· "6Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα"6 καὶ τὰ ἑξῆς· προπετὴς δὲ οὗτος ὡς καὶ τολμηρός, τὴν προπέτειαν οὐκ ἐπὶ κακῷ κτώμενος, ἀλλ' ἐπιτυχὼν ἐπ' ἀρετὴν θερμὸς καὶ ζέων τῷ Πνεύματι τυγχάνων, ἐξ οὗ καὶ τῶν ἀνθρωπίνων ἐξίσταται. ηι, 11–12. Ἐφθάρη δὲ ἡ γῆ ἐναντίον τοῦ Κυρίου καὶ ἐπλήσθη ἡ γῆ ἀδικίας. Καὶ εἶδεν Κύριος ὁ Θεὸς τὴν γῆν, καὶ ἦν κατεφθαρμένη, ὅτι κατέφθειρεν πᾶσα σὰρξ τὴν ὁδὸν αὐτοῦ ἐπὶ τῆς γῆς. Φθορᾳ`ν γῆς οὐ τὴν εἰς τὸ μὴ εἶναι ἀπώλειαν τοῦ οὕτω καλοῦ στοιχείου δηλοῖ, ἀλλὰ τὴν τῶν ἁμαρτιῶν τῶν ἀνθρώ- πων ὑπερβολήν, γῆν τοὺς ἀνθρώπους μετωνυμικῷ τρόπῳ καλῶν, καθὰ καὶ ὁ ψαλμῳδός φησιν· "6Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλλάτωσάν σοι"6, καὶ πάλιν "6Ἄισατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ"6· ὅταν γὰρ λέγηται "6Συνετελέσθη ὁ οὐρανὸς καὶ ἡ γῆ"6, τὸ στοιχεῖον τοῦτο σημαίνεται, καὶ "6Βλαστησάτω ἡ γῆ"6. Τοσαύτη δὲ ἡ κακία τῶν ἀνθρώπων γεγένηται, οἵτινες γῆκαλοῦνται, ὡς Θεὸν ἰδεῖν αὐτὴν τὸν διὰ πολλὴν ἀγαθότητα παρορῶντα καὶ τὰ μεγάλα τῶν πταισμάτων· 167 εἴρηται γάρ· "6Ἐὰν ἀνομίας παρατηρήσῃ Κύριε, Κύριε τίς ὑποστήσεται;"6 Οὐκ ὀργὴν οὖν ἐπάγει καθ' ἑκάστην ἡμέραν, ἐπειδὰν δὲ τὰ μέτρια τῶν ἁμαρτημάτων γένηται, ὡς λεχθῆναι καθάπερ ἐν τῷ προφήτῃ Ἰωνᾷ· "6Ἀνέβη ἡ κραυγὴ τῆς κακίας πρὸς τὸν Θεόν"6, καὶ περὶ Σοδόμων· "6Κραυγὴ Σοδόμων καὶ Γομόρων πεπλήθυνται, καὶ αἱ ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα"6, ὡς καὶ ἐνταῦθα τὸ ὅμοιον· "6Καὶ ἐπλήσθη ἡ γῆ ἀδικίας"6 τό τε λοιπόν. Ὁρᾷ οὐ πρότερον ἀγνοῶν, ἀλλὰ τὴν ἐπὶ ἐκδικίας ἐποπτικὴν δύναμιν δηλῶν, καθὰ ἐν τῷ "6Καὶ εἶδεν ὁ Θεὸς τὴν γῆν, καὶ ἦν κατεφθαρμένη"6. Φθορὰν δὲ τὴν κακίαν καλεῖ καὶ τὴν ἐπ' αὐτῇ τιμωρίαν, οὕτω πολλάκις τῆς γραφῆς δηλούσης ἐν τῷ ὑπὸ Παύλου εἰρημένῳ· "6Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός"6· ὁ γὰρ δι' ἀκολασίας ἁμαρτάνων φθορὰν τοῦ ναοῦ τοῦ Θεοῦ ἐργαζόμενος ὑπὸ κόλασιν εὑρισκόμενος φθείρεται, τῆς κολάσεως τὰ νῦν ὑπὸ τῆς φθορᾶς δηλουμένης. Φθορὰ δέ ἐστιν καὶ τὸ εἰς ἀδόκιμον παραδοθῆναι νοῦν· ἐσχάτη γὰρ αὕτη τιμωρία. Οὐ δεῖ δὲ κατὰ τοὺς Μανιχαίους οἴεσθαι ὅτι ἡ ἄποιος ὕλη περιλειφθεῖσα ἐν τῷ περιπολεῖν φθορὰν τῆς γῆς ἐργάζεται· τοῦτο γὰρ ἀμέμπτους ἐποίει τοὺς ἀνθρώπους, εἰ τὸ μὴ δυνηθὲν διακοσμηθῆναι πρὸς Θεοῦ τὴν λύμην εἰργάζετο· ἀλλὰ τρόπων μοχθηρία διὰ τῆς φθορᾶς τῆς γῆς δηλοῦται, καθὰ καὶ προείρηται, τῶν ἀνθρώπων διαφθειράντων τὴν ὁδὸν αὐτοῦ τοῦ Θεοῦ, ἣν ἐπὶ τῷ εὐοδεύειν ἐπὶ μακαριότητα εἰλήφεσαν. Τοιοῦτοί εἰσιν οἱ ἀκούσαντες τοὺς Ἰησοῦ λόγους καὶ μὴ ποιήσαντες. Εἰ δὲ καὶ σάρκα τὸν ἄνθρωπον, ὡς πολλαχοῦ εἴρηται, δηλοῖ, σκοπητέον μὴ τὸ "6Κατέφθειρεν πᾶσα σὰρξ τὴν 168 ὁδὸν αὐτοῦ"6 δηλοῖ ὡς ἕκαστος ἄνθρωπος διεστράφη ἀπὸ τῆς οἰκείας γνώμης. Ὅτι δὲ ἡ σὰρξ ἀντὶ τοῦ ἀνθρώπου λέγεται, σαφὲς ἐκ τοῦ "6Ἐκχέω ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα"6, καὶ "6Κρίνεται αὐτὸς πρὸς πᾶσαν σάρκα"6. Ὅλοι οὖν οἱ κατὰ τὴν τοῦ Νῶε γενεὰν γήϊνοι καὶ σάρκινοι γεγενημένοι διέστρεψαν "6τὴν ὁδὸν αὐτοῦ"6 ἕκαστος, ἣν παρείληφεν· οὕτω γὰρ τῷ μὲν δεδέχθαι αὐτοῦ, τῷ δὲ δεδόσθαι Θεοῦ ἡ ὁδὸς λέγεται. Κατέφθειραν οὖν τὴν ἑαυτῶν ὁδὸν ἢ τὴν τοῦ Θεοῦ· ἀμφοτέρως γὰρ οἷόν τε. ηι, 13. Καὶ εἶπεν ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Θεὸς πρὸς Νῶε· Καιρὸς παντὸς ἀνθρώπου ἥκει ἐναντίον ἐμοῦ, ὅτι ἐπλήσθη ἡ γῆ ἀδικίας ἀπ' αὐτῶν. Πολλὰ τῶν γεγραμμένων ὠφελιμωτέραν ἔχει τὴν ἱστορίαν τοῖς πολλοῖς. Οὗτοι γὰρ αἰσθήσει καὶ δόξῃ ζῶντες οὐκ ἐφικνοῦνται τῶν ἀληθῶς μεγάλων καὶ ἐπωφελῶν. Καὶ ἔστω ἐπὶ παραδείγματος τὸ λεγόμενον. Τυφλὸν ἀπὸ γενετῆς Ἰησοῦς ἰάσατο καὶ Λάζαρον τέσσαρας ἡμέρας ἐν τῷ μνημείῳ ἔχοντα ἐξήγαγεν προστάξει μόνῃ, καὶ πάλιν τὸν ἐν ¯λ¯η ἔτεσιν ἐν πολλῇ παρέσει μένοντα ἤγειρεν. Ταῦτα δὲ πρὸς τῷ αἰσθητῶς πληροῦσθαι καὶ συμβολικὰ ἦσαν, τοῦ μὲν ἀπὸ γενετῆς τυφλοῦ δηλοῦντος ἀνάβλεψιν ψυχῆς μηδέποτε βλεψάσης διὰ τὸ ἐξ ἁπαλῶν ὀνύχων ἐν ἁμαρτίᾳ καὶ ἀγνοίᾳ ἀνατετρᾶφθαι, καὶ πάλιν ὁ ἤδη ὀδωδὼς καὶ ἀπεγνωσμένην ἔχων τὴν ἐλπίδα, ἐκπεσών τε τῆς μακαρίας ζωῆς, ἐπ' αὐτὴν διὰ Ἰησοῦ συμβολικῶς ἐλθὼν ἐδείκνυτο, καὶ ὁ παρέσει δὲ κατειλημμένος εἶτα σωθεὶς ἐμήνυεν ψυχῆς εἰς ἀναισθησίαν πεσούσης ἐπι- στροφήν. Θαυμασιώτερα δὲ ταῦτα καὶ μείζονα τῆς σωμάτων ἰάσεως, ὅσῳ καὶ ἡ ψυχῆς οὐσία τιμιωτέρα σώματος, ἀλλ' ὅπερ οἱ πολλοὶ ἀγνοοῦσιν. Ὁ οὖν τὰ παράδοξα οὕτως αὐτοῖς διηγούμενος ὠφελιμώτερον ποιεῖ, καὶ ἐν τοῖς νῦν συνεκτεθεῖσιν τὰ τῆς 169 ἱστορίας πολλὴν καὶ εὐσυνοπτοτέραν τοῖς πολλοῖς ἔχει τὴν ὠφελίαν. Τί γάρ φησιν; "6Καιρὸς παντὸς ἀνθρώπου ἥκει ἐπὶ τῆς γῆς"6, λέγει δὲ καὶ ὁ Πέτρος μακροθυμίᾳ τοῦ Θεοῦ ἐπῆχθαι τὸν κατακλυσμόν, ἵνα μετάνοια δοθῇ. Προδεδήλωται γὰρ ὅτι ἐν ἑκατὸν ἔτεσιν ἐγίνετο τὸ τῆς κιβωτοῦ κατασκεύασμα, ἵνα ὁρῶντες οἱ ἄνθρωποι καὶ πυνθανόμενοι τὴν αἰτίαν λάβωσιν καιρὸν μετανοίας. Καιρὸν δὲ ἐνταῦθα οὐ δεῖ νομίζειν τὸν παρά τισιν ὡροσκόπον καλούμενον· οὐδὲ γὰρ εἱμαρμένη κρατεῖ τῶν πραγμάτων, ἀλλὰ ψήφῳ Θεοῦ πάντα γίνεται. Διόπερ ἡγητέον τὸ "6Καιρὸς παντὸς ἀνθρώπου ἥκει ἐπὶ τῆς γῆς"6 σημαίνειν τὴν ὡσανεὶ συμπλήρωσιν τῶν ἡμαρτημένων ἀνθρώποις, καθ' ἣν ἡ τῆς ἐκδικίας ἐπαγωγὴ προσάγεσθαι ὀφείλει, καθὸ λέγεται· "6Οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμαρραίων ἕως τοῦ νῦν"6 ἀντὶ τοῦ οὔπω τοσαῦτα ἥμαρτον ὡς ἀπογνωσθῆναι αὐτῶν τὴν μετάνοιαν. Καὶ γὰρ οὐκ ὀργὴν ἐπάγει ὁ Θεὸς καθ' ἑκάστην ἡμέραν, καίτοι ἁμαρτημάτων γινομένων, τοῦτο δὲ ποιεῖ τόπον μετανοίας παρέχων καὶ διδοὺς καιρὸν τοῦ καταγνῶναι ἑαυτῶν τοὺς ἁμαρτάνοντας· ὅταν δὲ οὕτω συνετελεσθῇ τὰ κατ' αὐτοὺς ὡς μηκέτι ἔχειν καιρὸν τοῦ μεταγνῶναι, καιρὸς ἦλθεν τοῦ παθεῖν αὐτούς. Ἅπαξ δὲ ὑπομνήσεως γεγενημένης τοῦ ἀναπληροῦσθαι ἁμαρτίας, τοῦτο σημειωτέον, ὅτι οὐ ταὐτὸν ἕνα πληροῦσθαι ἄνθρωπον ἁμαρτιῶν καὶ ὅλον λαόν· ἐν μὲν γὰρ τοῖς πολλοῖς πάσας ἐγχωρεῖ τὰς ἁμαρτίας εὑρίσκεσθαι, ὡς τὸν μὲν φέρε ἄσωτον εἶναι, τὸν δὲ φειδωλόν, καὶ τὸν μὲν θρασύν, τὸν δὲ δειλόν, καὶ πάλιν τὸν μὲν ἀκόλαστον, τὸν 170 δὲ ἠλίθιον· περὶ ἕνα δὲ ἄνθρωπον τὰς ἐναντίας ταύτας κακίας, ὑπερβολὰς οὔσας καὶ ἐλλείψεις, εὑρίσκεσθαι ἀδύνα- τον. Πάσας μὲν γὰρ ἐν ἀνθρώπῳ τὰς ἀρετὰς εἶναι δυνατόν, ἀλλήλαις γὰρ ἀντακολουθοῦσιν, τὰς δὲ κακίας οὐχ οἷόν τε διὰ τὰ προειρημένα. Καὶ ταῦτα μὲν ὡς παρεκβάσει, ἐπανελθῶμεν δὲ ἐπὶ τὸ ἐξ ἀρχῆς· "6Καιρὸς παντὸς ἀνθρώπου ἥκει"6. Οὐδεὶς τοιαῦτα ἁμαρτήματα ἔχει ὡς συγχωρηθῆναι αὐτῷ· καὶ ὥσπερ ἄριστος ἰατρὸς καιρὸν τοῦ τροφὴν δέξασθαι τὸν κάμνοντα, κἂν ἐν νυκτὶ γίνηται, κατὰ τὴν τοῦ νοσήματος τοιάνδε κατάστασιν τίθεται, οὕτω καὶ τὸ νῦν λεγόμενον. Τοιῶσδε γὰρ ἐχόντων τῶν ἀνθρώπων ὡς εἰς ἔσχατον ἁμαρτίας ἥκειν, δι' ἃς ὁ κατακλυσμὸς ἐπάγεται, γίνεται τοῦτο ἀσυγγνώστατα πράττουσιν. Οὐ δεῖ δὲ οἴεσθαι ψεῦδος εἶναι τὸ καιρὸν παντὸς ἀνθρώπου ἥκειν, εἰ καὶ ὀκτὼ ἐν τῇ κιβωτῷ διεσώθησαν· ἐνταῦθα γὰρ τὸ καθόλου ἀντὶ τοῦ ὡς ἐπὶ τὸ πλεῖστον εἴληπται. Εἰ δὲ κατὰ τὸ "6Ὅπου γὰρ ἔρις καὶ ζῆλος ἐν ὑμῖν, οὐχὶ ἄνθρωποί ἐστε"6 λέγει τὸ "6παντὸς ἀνθρώπου"6, οὐχ ὑπόκειται ὁ Νῶε τούτῳ ὑπερβαίνων τὴν ἀνθρώπου κατάστασιν· καὶ οὕτως ἀληθὲς τὸ παντὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνθρώπου καιρὸν ἥκειν, τοῦ κατὰ τὸ ἁμαρτάνειν οὕτω καλουμένου. Οὐδὲ <ματαίως> καὶ τὸ "6ἐναντίον ἐμοῦ"6 πρόσκειται· οὐδενὸς γὰρ γενητοῦ ὑπάρχει τὸ γνῶναι καιρόν, καθ' ὃν ἄξια πεποίηκέν τις τοῦ λοιπὸν ἀπογνωσθῆναι. Καὶ τοῦτό γε δεόντως οὐδεὶς οἶδεν γενητός· εἰ γὰρ ἐγίγνωσκον τὰς καρδίας, οὐδ' ἂν ἐβοήθουν ἀποστρεφόμενοι ταχέως τοὺς ἐν ἁμαρτίᾳ γεγενημένους. Μόνης γὰρ τῆς ἀγαθότητός ἐστιν τῆς ἀνυπερβλήτου, τῆς κ[α]τ' οὐσίαν ἀγαθότητος 171 τῆς μὴ μειουμένης, καὶ ὁρᾶν τὸ κρυπτὸν καὶ τὸν καιρὸν εἰδέναι. Εἰ δὲ καί τις γενητῶν ἐκ Θεοῦ μ[ε]τέχει ἀγαθό- τητος κατὰ διάθεσιν, ἀλλ' οὖν τὰς ἐπιβολὰ[ς] τῶν ἁμαρτημάτων καὶ τὰς αἰτίας ἀγνοεῖ, ὥσπερ πάσας εἰδὼς ὁ Θεὸς τὸν καιρὸν τῆς ἐπιτιμίας γιγνώσκει, διὸ εἴρηται "6ἐναντίον ἐμοῦ"6 καὶ "6ὅτι ἐπλήσθη ἡ γῆ ἀδικίας ἀπ' αὐ- τῶν"6. Εἰκότως δὲ καὶ τοῦτο εἴρηται· οὐ γὰρ ἄ[λ]λων ἁμαρτόντων ἐπ' αὐτοὺς ἡ τιμωρία ἔρχεται. Δῆ[λο]ν δὲ καὶ ἐκ τούτου ὡς οὐχ εἱμαρμένη αὐτοῖς ἐπήνε[γ]κεν τὸν τοιοῦτον θάνατον· ἐπεὶ γὰρ "6ἐπλήσθη"6 φησὶν "6[ἡ] γῆ ἀδικίας ἀπ' αὐτῶν"6, ὁ καιρὸς ἥκει, ὅσπερ οὐκ ἂν ἐνστήσῃ, [ε]ἰ μὴ ἡμάρτανον. ̣ηι, 13. Καὶ ἰδοὺ ἐ[γὼ] ̣κ[ατ]αφθείρω αὐτοὺς καὶ τὴν γῆν. Φιλανθρωπ[ία] ̣καὶ ἀγαθότης Θεοῦ καὶ διὰ τούτων δηλοῦται προλέγον ̣τ ̣ος [τὸ] ἐσόμενον, ἵνα τῷ φόβῳ τῶν προσδοκωμένω ̣ν ̣τὴ[ν] κακίαν ἀναστείλῃ, ὅπερ καὶ ἐπὶ Νινευειτῶν γέγονεν τοῦ προφήτου Ἰωνᾶ ἀκούσαντος· "6Ἔτι τρεῖς ἡμέραι καὶ Νινευὴ καταστραφήσεται"6. Ἀκολούθως οὖν καὶ τῷ δικαίῳ ταῦτα προλέγει καὶ προδιατάττει τὴν κιβωτὸν γενέσθαι, παντὸς κηρύγματος ἐναργέστερον πρὸς μετάνοιαν τὴν ταύτης κατασκευὴν προβαλλόμενος, φθείρειν δὲ αὐτοὺς καὶ τὴν γῆν κατ- επαγγελεῖται, ἐπεὶ τούτου ἔχρῃζον. Εἴσι μὲν γὰρ ἐπιτιμίαι πολλαὶ πρὸς Θεοῦ διδό- μεναι ἐπὶ τῷ μετάγνωσιν γενέσθαι τῶν ἁμαρτημάτων· θέλε[ι] γὰρ πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν λέγων· "6Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νοσσία ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελή- 172 σατε"6. Ἀνάγκη γὰρ οὐ βιάζεται ἀγαθοὺς γενέσθαι, οὐδὲ γὰρ οἷόν τε· οὐκέτι γὰρ ἀγαθὸν τὸ τοιοῦτον. Ἐπὰν δὲ Θεὸς ὁ τὰ πάντα ἐπιστάμενος μετὰ πολλὰς τὰς νουθεσίας μὴ ἔχῃ ὑπακούοντα τὸν νουθετούμενον, τούτους, περὶ ὧν ὁ [λό]γος, καταφθείρει αὐτούς, καὶ τούτου κρίσει αὐτοῦ συμφέροντος. Συμφθείρεται δὲ καὶ ἡ γῆ–τουτέστιν τὰ ἐν τῇ γῇ, τοῦτο γὰρ σημαίνει τὰ νῦν ἡ γῆ–εἰκότως· τῶν γὰρ ἀνθρώπων ἀπολλυμέν[ων], ἔδει καὶ τὰ δι' αὐτοὺς συστάντα παραπόλεσθαι. Ἐπεὶ καὶ ζ[ωπύ]ρου πα<ρα>- καταλιμπανομένου διὰ τοῦ Νῶε καὶ τῶν σὺν αὐ[τ]ῷ, καὶ τῶν ἄλλων ζῴων ὁμοίως ζώπυρα κατελείφθης ̣[α]ν ̣. ̣ηι, 14–17. [Π]οίησον οὖν σεαυτῷ κιβωτὸν ἐ<κ> ξύλων τετραγώνων· ν[οσ]ς ̣ι ̣α ̣̀ς ποιήσ ̣ε ̣ις τὴν κιβωτόν· καὶ ἀσφαλ- τώσεις αὐτὴν ἔσωθε[ν] καὶ [ἔ]ξωθεν τῇ ἀσφάλτῳ. Καὶ οὕτως ποιήσεις τὴν κιβωτό[ν]· τριακοσίων πήχεων τὸ μῆκος τῆς κιβωτοῦ καὶ πεντήκ ̣[ο]ν ̣τ ̣[α] πήχεων τὸ πλάτος καὶ τριάκοντα πήχεων τὸ ὕψος αὐτῆς. Ἐπισυνάγων ποιήσεις τὴν κιβωτὸν καὶ εἰς πῆχυν συντελέσεις αὐτὴν ἄνωθεν· τὴν δὲ θύραν τῆς κιβωτοῦ ποιήσεις ἐκ πλαγίων. Κατάγαια διώροφα καὶ τριώροφα ποιήσεις αὐτῇ. Ἐγὼ δὲ ἰδοὺ ἐπάγω τὸν κατακλυσμόν, ὕδωρ ἐπὶ τὴν γῆν, καταφθεῖραι πᾶσαν σάρκα, ἐν ᾗ ἐστιν πνεῦμα ζωῆς ὑποκάτω τοῦ οὐρανοῦ· καὶ ὅσα ἐὰν ᾖ ἐπὶ τῆς γῆς τελευτήσει. Πλείστην ἀκολουθίαν ἔχει τὸ ῥητόν, "6ἐκ ξύλων τετρα- γώνων"6 προστατομένου ποιῆσαι τὴν κιβωτὸν τοῦ Νῶε, πρῶτον μὲν ἵνα μὴ καὶ πολὺς χρόνος καταναλίσκηται εἰς διαίρεσιν ̣α ̣ὐ ̣τ ̣ῶ ̣ν ̣, ἔπειτα, ὅπερ καὶ ἀληθέστερόν ἐστιν, ἵν' ἐξ ὁλοκλή[ρ]ω ̣ν ξ ̣ύ ̣λ ̣ω ̣ν γινομένη ἀσφαλεστέρα τυγχάνῃ· ἔμελλεν γὰρ καὶ ὄρεσιν προσπελάζειν καὶ ζάλην οὐ μικρὰν ὑφίστασθαι, πρὸς ἅπερ οὐκ ἂν <ἀν>τεῖχεν, εἰ μὴ 173 ἐξ ὁλοκλήρων ξύλων κατεσκεύαστο. Χρησίμως δὲ καὶ "6νοσσιὰς"6 γενέσθαι προστάττει, αἵπερ εἰσὶν χῶραι διῃρη- μέναι, δύο τούτων ἕνεκεν, πρός τε τὸ μὴ ἀναμὶξ εἶναι τὴν τῶν ζῴων [δι]ατριβήν, ὧν ἔμελλεν εἰσάγειν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μεθ' ἑαυτοῦ, καὶ πρὸς τὸ σύνδ[ε]σιν εἶναι τοῦ κατασκευάσματος· ἀσθενέστερον γὰρ ἦν, εἰ πεν[τ]ήκοντα τὸ πλάτος καὶ τριακοσίων τὸ μῆκος καὶ τὸ ὕψος τριά[κ]οντα πηχῶν ὑπάρχον ἀσύνδετον ἔμενεν. Ἀσφαλτοῦτ[αί τ]ε καὶ ἔξωθεν καὶ ἔσωθεν πρὸς τὸ μηδεμίαν παρείσ[δυ]σιν ὕδα[τος] γενέσθαι. Εὖ δὲ καὶ τὸ εἶναι τὸ μῆκος τοῦ πλάτους μ̣[εῖ]ζον· οὕτ[ω γὰρ] εὐκίνητον ἦν, ἐπεὶ καὶ τὰ σκάφη ταύτης εἰσὶ τῆς τοῦ σχήμα[τος ἀ]ναλογίας. Εἰ δ' ὅτι τετράγωνος κάτωθεν γέγονέν τις λέ[γοι, καὶ] τοῦτο οὐκ ἀπεικότως· ἐπεὶ γὰρ οὐκ εἰς τὸ πλεῖν προηγο̣υμέ[νως ἀ]λλ' εἰς τὸ φυλάττειν ἐγίνετο, διὰ τοῦτο οὕτως γέγονεν· ἄ[λ]λως [τ]ε καὶ κατεποντοῦτο τάχεως, εἰ μὴ τετράγωνος ἦν. Ἐπισυνη[γ]μένη δὲ οἰκείως ἐγίνετο, ἵνα ἡ τῶν ὑδάτων ἐπιφορὰ ἔχ[η̣ τὸ]ν ὄλισθον καὶ μὴ καθάπερ εἰς πέτραν πάντοθεν ἔχουσαν ὕψος προσαράττη τὰ κύματα. Καὶ τὸ τὴν θύραν δὲ ἐκ πλαγίων γε[ν]έσθαι ἐπιτηδείως προσ- ετάττετο *** (2 λιγνες εν βλανξ "6Κατάγαια"6 δὲ "6διώροφα καὶ τριώροφα"6 οἰκείως κατεσκευάζετο πρὸς τὸ διαρκέσαι πάντα τὰ εἰσαγόμενα ζῷά τε καὶ τὰ πρὸς τροφὴν τούτω̣ν̣. Τὸ δὲ "6ἐγὼ δὲ ἰδοὺ ἐπάγω τὸν κατακλυσμόν, ὕδωρ ἐπὶ τὴν γῆν, καταφθεῖραι πᾶσαν σάρκα ἐν ᾗ ἐστιν πνεῦμα ὑποκάτω τοῦ οὐρανοῦ, κα[ὶ ὅ]σα ἐὰν ᾖ ἐπὶ τῆς γῆς τελευ- τήσει"6 ἐστὶ μὲν καὶ διεγερτικόν, [καθὰ πρότερον] εἴρηται, δηλοῖ δὲ ὅτι τά τε ἐν τῇ γῇ καὶ τὰ ἀεροπό[ρα φθαρήσετ]α̣[ι· τ]άχα γὰρ τὰ ἔνυδρα διεσῴζετο. *** (12 λιγνες εν βλανξ 174 η̣ι, 18. Καὶ στήσω τὴν διαθήκην μου πρὸς σέ. Οὐ φαίνεται πρὸς τοῦ Θεοῦ τῷ Νῶε γεγενημένη δ[ια]θή[κη] ἡ συνόρκη, ὡς Σύμμαχος καὶ Ἀκύλας ἡρμή- νευσαν. Μὴ δ[ή]που καταπορῇ τοὺς λόγους, ἀπεκαλύφθη τῷ Νῶε τὸ ἐσόμε[νον, ἵνα] εὔελπις [ᾖ] περὶ τῶν μελλόντων καὶ παιδεύῃ καὶ τὴν ἑαυτοῦ γενε[ὰν] ὡς "3ἁμαρτημάτων ἕνεκεν ὁ Θεὸς ταῦτα ἐπήγαγεν· καὶ ὑμεῖς διὰ δικα̣ιοσύνην σῴζεσθε"3, ἵνα τὸ αἶσχος τῆς κακίας ὑποδειχ[θ]ῇ καὶ [τὸ] τῆς ἀρετῆς ἐράσμιον, οὐχ ὡς τῶν ἡδέων μισθοῦ ὄ[ν]τος ἀρετῆς, ἀλλ' ὅτι οὐ συναναπαύει τοῦ τρόπου τῆς κολάσεως ὁ σπουδα̣ι῀ος οὐχ ὑποκείμενος αὐτῇ. Τὸ δὲ "6στήσω"6 ἐνταῦθα τὸ βέβα̣ιο̣ν̣ δηλοῖ. η̣ι, 18. Εἰσελεύσῃ δὲ εἰς τὴν κιβωτὸν σὺ καὶ οἱ υἱοί σου και̣` η̣῾ γυ̣νη̣´ σου καὶ αἱ γυναῖκες τῶν υἱῶν σου μετὰ σοῦ. Ὁ Σωτὴρ ἐν εὐαγγελίῳ εἶπεν περὶ παντὸς ἀργοῦ ῥήματος δ[ώσειν] ἀνθρώπους λόγον ἐν ἡμέρᾳ κρίσεως, ἀργὸν δὲ ῥῆμα ἐ[⋯ ⋯ ⋯ ·]κον καὶ μὴ ἔχον τι ἐπωφελές· εἰ δὲ τοῦτο ἀνθρώποις π[ροσ]τ̣[άττεται] μὴ προφέρειν, πολλῷ πλέον οὐδὲ τὰ θεῖα λόγια περι[έ]χε[ι τι τοι]οῦτον, ἀλλὰ χρησίμως ἅπαντα ἐν αὐτοῖς φέρεται κα̣ι[·]ατα̣[··] η[··]·μεν ἐκ τῶν ἐκτεθέντων. Εἰσερχομένῳ 175 εἰς τὴν κ[ι]βω[τὸν] [τ]ῷ Νῶε τοὺς υἱοὺς συνέταξεν, καὶ τῇ γυναικὶ τὰς γυναῖκας τῶν υ̣ι̣῾ω̣῀ν· ὅτε δὲ [λ]οιπὸν καιρὸς τοῦ ἐξελθεῖν εἰς τὴν γῆν, παυσαμένου τοῦ κ[α]τακλυσμοῦ, ἐπισημαίνεται τὸ λόγιον οὕτως· "6[Κα]ὶ εἶπεν ὁ [Θ]εὸς τῷ Νῶε· Ἔξελθε ἐκ τῆς κιβωτοῦ σὺ καὶ ἡ γυνή [σου κ]αὶ οἱ υἱ[οί σ]ου καὶ αἱ γυναῖκες τῶν υἱῶν σου μετὰ σοῦ"6. Ἔπρ[ε]π[εν] γάρ, με[λλο]ύσης φθορᾶς ἀνθρώπων γίνεσθαι, μὴ ἀσυμπαθε[ῖς] γενέσθαι τ[οὺς] δικαίους, ὥστε τοῖς γαμικοῖς ἀδέως χρᾶσθαι. Ἐ̣χώρισεν ο[ὖν τ]ὰς γυναῖκας τῶν ἀνδρῶν λέγων· "6Εἰσελεύσῃ σὺ [κ]αὶ οἱ υἱοί [σου καὶ] ἡ γυνή σου καὶ αἱ γυναῖκες τῶν υἱῶν σου"6· ὅτε δὲ [ἐδ]έχετο [ὅτι ἔμπ]αλιν ἤμελλεν ἀποδοθῆναι ἡ διαδοχή, ἀποδέ[δω]κεν, ὡ[ς παρεθ]έμεθα, τῷ Νῶε τὴν γυναῖκα λέγων· "6Ἔξελθε σὺ [κ]αὶ ἡ γυνή [σου, οἱ υἱοί] σου καὶ αἱ γυναῖκες τῶν υἱῶν σου"6. Καὶ ὅτι δι' ἔθους [οὐκ] ἔ̣φη ε[ἰκαίως, ἀ]λλὰ μετὰ παρατηρήσεως, λέγειν ἔστιν, καὶ [τὸ ε]ὐαγγ[έλιον π]ιστώσασθαι, εἰρημένου πρὸς τοῦ Σωτῆρος· "6Οὐδεὶς [δύν]α̣ται δ[υσὶ κυρίοι]ς δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει καὶ τ[ὸν ἕτερ]ον ἀγ[απήσει] ἢ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου κατα[φρονήσει]· οὐ δ[ύνασθ]ε Θεῷ δουλεύειν καὶ μαμωνᾷ"6. Καὶ δηλο[νότι δουλεί]α̣ τοῦ [μαμω]νᾶ ἡ φιλαργυρία, καὶ ἐπὶ πάσης δὲ κακίας [⋯ ⋯ ··]ν. Οὐ[δαμῶς] γὰρ οἷόν τε κακίᾳ καὶ ἀρετῇ δουλεύειν· ὁ γὰρ ποιῶν τ]ὴν [ἁμαρτ]ίαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δοῦλός ἐστι τῆς ἁμαρτίας καὶ πᾶσα με[···· ··· ··· ···]ωντα μισεῖν τὰ πονηρά. Οἱ γὰρ ἀγαπῶντε[ς ··· ··· ··· ·· μ]ισεῖται πονηρά. "6῍Η γὰρ τὸν ἕνα μισήσει καὶ τ[ὸν ἕτερον ἀγαπήσει"6] –ἀγαπᾷ γὰρ Θεὸν ὁ ἐνάρετος μισῶν τὴν κακί[αν–"6ἢ τοῦ ἑνὸς ἀνθέ]ξεται καὶ τοῦ ἑτέρου καταφρονήσει"6, ὅπερ [··· ··· ··· ··] ἀκριβῶς εἴρηται· τὸ γὰρ ἀντέχεσθαι εἶπεν [ἐπὶ τῆς κακία]ς, οὐ τὸ ἀγαπᾶν. Οὐδεὶς γὰρ ἀγάπῃ τῇ πρὸς [··]α[··· ··· ··]ην ἐνεργεῖ, ἀλλ' ὀλισθήσας ἀντέχεται, οὐδὲ [μ]ισ[εῖν λέ]γεται τὸν Θεόν, ἀλλὰ κατα- φρονεῖν· διόπερ τὸ οἰκεῖ[ον ··· ···]ενι μὲν ῥῆμα, τῷ 176 μὲν Θεῷ τὸ ἀγαπᾶσθαι ὑπὸ τοῦ σπουδαίου, τῇ δὲ κακίᾳ τὸ μισεῖσθαι, καὶ πάλιν τῇ μὲν κᾳκίᾳ τὸ ἀντέχεσθαι αὐτῆς τὸν ἐνεχόμενον φα[ῦ]λον, τῷ δε̣ Θεῷ τὸ καταφρονεῖσθαι ὑπὸ τοῦ τοιούτου. Οὐδεὶς γὰρ εἴ[πο]ι ἄν ποτε̣ ̣καταφρονεῖν τινα τῆς ἁμαρτίας ἢ μισεῖν τὸν Θεό[ν], εἰ καὶ πρὸς [ἐ]πί- πληξιν οἱ φαῦλοι διὰ τὸ ῥοπὴν ἐσχηκέν[αι π]ρὸς κακ[ίαν μ]ισεῖν λέγονται Θεὸν κατὰ τὸ "6κύριε οὐχὶ τ[ο]ὺς μισο[ῦν- τ]άς σε ἐμίσησα;"6 οὐ γὰρ τοῦτο κυρίως ποι[εῖ, ἀ]λλ' ὀλισ[θών], ὡς ἐλέχθη, μισεῖν λέγεται. Τὸ δὲ κατα[φρον]εῖν κυριώτατον τοιαύτης ἀκριβείας καὶ παρατηρή[σεώς] ἐστ[ι κατὰ] τὸ λεγόμενον πάλιν ὑπ' αὐτοῦ τοῦ Σωτῆρος· "6Πᾶ[ς ὃς ἂ]ν ὁμολ̣ογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώ- πων, ὁμ[ολογ]ήσω κἀγ[ὼ] ἐν αὐτῷ, καὶ πᾶς ὃς ἂν ἀρνήσηται"6–οὐκ "6ἐ[ν ἐμο]ὶ"6 εἶ[πεν]–"6ἀρνήσομαι κἀγὼ αὐτόν"6· ὁ γὰρ ὁμολογ[ῶν τὸν] Θεὸν ἐν̣ [Χριστῷ] τοῦτο ποιεῖ, ὁ δὲ ἀρνούμενος οὐκ ἐν [Χριστῷ τ]οῦτο πο[ιεῖ]. Δεῖ οὖν τὴν ὁμολογίαν ἐν αὐτῷ εἶνα[ι ··· ·]ω̣ς̣ και·[·· ··]ση πρὸς τοὺς μὴ τοιούτους, ἀλλὰ μόν[ον τοῖς] λόγο̣[ις λέ]γοντας ὁμολογεῖν εἴρηται· "6Θεὸν ὁμολ[ο- γοῦσι]ν εἰδ[έναι, τοῖ]ς δὲ ἔργοις ἀρνοῦνται"6, καὶ "6Ὁ λαὸς οὗτ[ος τοῖ]ς χείλ[εσίν με] τιμᾷ, τῇ δὲ καρδίᾳ πόρρω ἄπεστιν ἀ[π' ἐμοῦ"6· ἐν γὰρ τῷ ὁ]μολογοῦντι ὁ ὁμολογούμενός ἐστιν κ[αὶ ὁ ὁμολογῶν ἐντῷ] ὁμολο- γουμένῳ. Ἀλλὰ μη ́ τις ταὐτὸν οἴη[ται τῷ "6ἐγὼ ἐν τῷ Πατρ]ὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστιν"6· τὸ μὲν γὰρ τὸ απ̣[··· ··· ··· ····]γίας δηλοῖ, τὸ δὲ τὴν ἐν τῷ ὁμολογου[μένῳ ··· ··· ·, ὅπ]ερ δηλοῦται ἐν τῷ "6πᾶς ὀστισοῦν ὁμολο[γήσῃ ἐν ἐμοί"6, τ]οῦ "6ὁμολογήσω κἀγὼ ἐν αὐτῷ"6 οὐ μετο[··· ··· ··· ··]τος, –οὐ γὰρ Θεὸς ἀνθρώπου μετέχει, –ἀλλὰ κρίσιν [··· ··· ··· ···] ἐκ Θεοῦ τοῦ ὁμολογοῦντος. Οὕτως οὖν παρ[··· ··· ··· · εἴ]ρηται καὶ τὸ περὶ τῶν υἱῶν τοῦ Νῶε καὶ αὐτοῦ καὶ τῆ[ς γυναικὸς] αὐτοῦ καὶ τῶν υἱῶν, ἀλλ' ὡς παρετηρησάμεθα κ̣αλῶ[ς ··· ··· ··] 177 Εἴσελθε σὺ καὶ οἱ υἱοί σου μετὰ σοῦ. Οὐ γὰρ αὐτὸς δι' αὐτούς, ἀλλὰ [α]ὐτ[οὶ] δι' αὐτ[ὸ]ν καὶ τὴν ἀπ' αὐτοῦ ὠφελίαν διεσώθησαν. Καὶ τοῦτ[ο βεβαι]οῦτα[ι ἐκ] τοῦ ἐν τοῖς μετέπειτα ἐπιφερομένου, λέγο[ντος τοῦ Θεο]υ ̃ πρὸς [τὸ]ν Νῶε· "6Ὅτι σε εἶδον δίκαιον ἐναντίον ἐμοῦ ἐ[ν τῇ γεν]εᾷ ταύ[τῃ]"6. Τὸ μέγεθος γὰρ αὐτοῦ τῆς ψυχῆς δηλοῦτ[αι τῷ "6δί]καιος"6, ἐ[πε]ὶ οὐχ ἁπλῶς μεμαρτύρηται, ἀλλ' ἐναντίον τ[οῦ Θεοῦ]. η̣ι, 19. Καὶ ἀπ[ὸ πά]ντων κτηνῶν καὶ ἀπὸ πάσης σαρκὸς δύο δύ[ο ἀπὸ πάντ]ων. Εἰ[ς τὰς] φύσεις τῶν ἀριθμῶν τις ἀποσκοπῶν καὶ γιγ[νώσκων] ὡς [ὁ ἑπτὰ ἐν] γραφαῖς πολλὰ ἔχων προ- νόμια μνημονεύετ̣[α]ι, ὁ δὲ δύο [ἐστὶ τῇ ὕ]λῃ̣ οἰκεῖος, καθὰ καὶ πρότερον εἴρηται, ἐπιστήσει πῶς ἐπὶ [μὲν τῶν] καθαρῶν ἐν τοῖς ἑξῆς τὸν ἑπτὰ ἔταξεν ἀριθμόν, ἐπὶ δὲ [τῶν ἀκα]θάρτων καὶ νῦν τὸν δύο· ἔτι δὲ καὶ τοῦτο ζητήσει πῶς, [μηδέπω] τοῦ νόμου δεδομένου περὶ καθαρῶν καὶ ἀκα[θ]άρτων, [ὁ δύο λέ]γεται, εἰ μή που ἀπολόγοιτό τις ὅτι τῷ δικαίῳ προ[εθεωρεῖ]το ἡ ἐπιστη- μονικὴ τοῦ νόμου διάταξι[ς]. Κἀκεῖ[νος π]ροσαπορῶν πῶς εἷς ἄνθρωπος τοσούτων [κτηνῶν] περι[κρατεῖ] ὥστε καὶ εἰσαγαγεῖν αὐτὰ εἰς τὴν κ[ιβωτὸν] ἀκου[έσθω ὅ]τι Θεοῦ συνεργείᾳ τῷ δικαίῳ δέδοται [τὸ ἀναπ]λη[ροῦν] τὸ πρόσταγμα, οὐδὲν δὲ ἄπιστον τὸ [ὑπὸ Θεοῦ κ]αὶ τὰ [ἄγρια] ἡμεροῦσθαι. Εἰ δὲ καὶ τῷ προκρίτῳ [τῶν ἀποσ]τόλων [Πέτρῳ] ἐν τῷ σκεύει τῷ ὡς ὀθόνῃ πάντων τ[ῶν ζῴ]ων αἱ εἰ[κόνες] ἐφανερώθησαν, τί ἄπιστον εἰ διὰ τὸ μέ[λλειν] παλιγ[γίνεσ]θαι κόσμον συνήργησεν, ὅτε τῷ δικαίῳ κ[ελεύε]ι τούτων [εἰσαγ]ωγήν, ἵνα καὶ ἐξ αὐτῶν μετὰ ταῦτα διαδ[οχὴ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γέ]νηται.   ηι, 19–20. [Εἰσ]άξεις εἰς τὴν κιβωτόν, ἵνα τρέφῃς μετ[ὰ σε]αυτοῦ [ἄρσ]εν καὶ θῆλυ· ἔσονται ἀπὸ τῶν πετει- νῶ[ν κα]τὰ γένος [καὶ] ἀπὸ τῶν κτηνῶν κατὰ γένος καὶ ἀπὸ [πάν]των ἑρπε[τῶν] τῶν ἐπὶ τῆς γῆς κατὰ γένος αὐτῶν. 178 [Δύο δ]ύο ἀπὸ πάντων εἰσ[ελεύσον]ται πρὸς σὲ τρέφεσθαι μετὰ σοῦ ἄρσεν καὶ θῆ[λυ. Λεκτ]έον δὲ ὅτι ἐνταῦθα τὸ γένος ἀντὶ τοῦ εἴδου[ς ἐστίν], λεγομένου ποτὲ τοῦ εἴδους καὶ γένους. Καὶ π[··· ···]εξω *** (17 λιγνες εν βλανξ   ηι, 21. [Σ]ὺ δὲ λήμψῃ [σεαυ]τῷ ἀπὸ πάντων τῶν βρωμάτων ἃ ἔδεσθε, καὶ σ[υνάξ]εις πρὸς σεαυτόν, καὶ ἔσται σοι κἀ[κείν]οις φαγεῖ[ν].   [···]·ητ··[··· ··]α ὑποτίθεσθαι τῷ δικαίῳ οὐ μόνον ἑαυτοῦ κ[αὶ τῶ]ν σὺν αὐτῷ, ἀλλὰ καὶ τῶν ἀλόγων φρονῆ- σαι· δικα[ίως] γὰρ οἰκτείρει ψυχὰς κτηνῶν αὐτοῦ. Τὸ δὲ "6πρὸς [σεα]υτὸν συνάξεις"6 παρατήρησιν ἂν ἔχοι ὅτι 179 ἐν οἷς [σὺ] διαιτᾷ καταγωγίοις, καὶ ἄλλα ζῷα οὐ πλησιάζει, συνάγαγε τὰς τροφάς· εἰ γὰρ [ἐν τοῖς ἐ]κείν[ων] τόποις ἀπέκειντο, ἀφειδῶς ἐπιβαί[νοντα ταῖς] τρο[φα]ῖς ἔνδειαν αὐτῶν ἐργάζοντο *** (13 λιγνες εν βλανξ   ηι, 22. [Καὶ ἐπο]ίησεν Νῶε πάντα ὅσα ἐνετείλατ[ο αὐτῷ] Κύριος [ὁ Θεός], οὕτως ἐποίησεν.   [Μέγας] ἔπαινός ἐστιν, ὅταν, ἐπιστήμονο[ς ποιή]σαν- [τος, εἰ]πῇ τις ἀξιόπιστος καὶ ὀρθῶς κρίνε[ιν δυνά]μενος   [ὅτι οὕ]τως ἐποίησεν ὡς ὁ προστάξας ὑπέθ[ηκεν α]ὐτῷ· [ἀρετῆ]ς γὰρ αὕτη ἡ πρᾶξις. Ἔστιν γάρ ποτε[ ··· ··]····  ··· ··]ιν μὴ μὴν οὕτως ὡς προσέταξεν· τὸ γὰ[ρ ··· ·] ··· ···· ·]ηνη πρὸς τὸ θεαθῆναι τὴν πρᾶξι[ν ··· ·]··· · σ[··]θαι τῆς διαθέσεως, οὐχ ὃν δεῖ τρόπον ἔχ[···]κα···τος.   Πᾶ[σ]α πρᾶξις μὴ μετὰ τοῦ πρέποντος λογισ[μοῦ] γινομένη [ἀ]τελής ἐστι, κἂν τὸ ἀποτέλεσμα γίνη[ται] τέλειον, μ[αρ]τυρεῖται δὲ ὁ δίκαιος ὡς καὶ ποιήσας 180 κα[···]··· ··· ·ο[··· ··· Το]ῦτο γὰρ καὶ ὁ Σωτὴρ παιδεύει λέγων· "6Ἐλεᾶτε καὶ ἐ[λεηθήσεσ]θε"6, βούλεται δὲ τὸν ἔλεον μὴ μετὰ σ[αλ]πίγγω[ν γίνεσθ]αι, ὅ ἐστιν μὴ ἐμπομπεύειν καὶ ἐναλαζ[ον]εύεσ[θαι ταῖς] ἐνδείαις τῶν πενομένων· "6Γίνεσθε"6 γάρ [φη]σιν "6τ[έλειοι ὡς] ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστιν"6· ὁ [Θεὸς] γὰρ [ἑαυτοῦ] μεταδοτικός ἐστιν καὶ οὐκ ἄλλοθεν δ[εχό]μεν[ος· οὕτ]ω καὶ ὑμεῖς τὸ μεταδοτικὸν ζηλώσατε, [καθὰ] παρα[ινεῖ κ]αὶ ὁ μακάριος Παῦλος· "6Μακάριόν ἐστι μᾶ[λλον] διδόν[αι ἢ λ]αμβάνειν"6. Οὐ γὰρ ὁ λαμβάνων μιμεῖται [τὸν] Θεόν· ὁ [γὰρ Θεὸ]ς παρ' οὐδενός τι δέχεται, ἀλλὰ χορηγὸ[ς τῶν] πάντ[ων ἀ]γαθῶν. Ὁ μιμητὴς οὖν τοῦ Θεοῦ δίδωσιν.

**ηια, 1.** Κ[αὶ εἶ]πεν Κύριο[ς ὁ Θεὸς] πρὸς Νῶε· Εἴσελθε σὺ καὶ πᾶς ὁ οἰκό[ς σου] τὴν κ[ιβωτόν, ὅ]τι σε εἶδον δίκαιον ἐναντίον μου ἐ[ν τῇ γε]νεᾷ τ[αύτῃ].   <Οὕτ>ως ἐμφ[αίνεται] ὅτι ἅπας ὁ οἶκος οἱ ὀκτὼ μόνοι ἐτύ[γχα]νον· θ[εραπευτὴ]ν γὰρ οὐκ ἐπηγάγοντο ἢ διὰ τὸ μήπω [κα]ταδ[εδουλῶσ]θαι ἀνθρώπους ἢ διὰ τὸ ἀκτήμονας εἶναι τ[ῶν] τοιού[των].   [Οἶκον] οὖν ἐνταῦθα τὴν ἐν τοῖς ὀκτὼ συγ[γέ]νειαν [καλεῖ, πο]λλάκις γὰρ τοιούτου ὀνόματος ὁμων[υ]μοῦντ[ος καὶ ἐ]πὶ τούτων, κυρίως ἐπὶ τοῦ οἰκοδομηθ[έν]τος λεγ[ο- μένο]υ. Τὸ δ' αὐτὸ καὶ ἐπὶ πόλεως εὕροις ἄ[ν]. Ἐν τῷ εὐα[γγελί]ῳ γοῦν εἴρηται· "6Καὶ ἤγαγον αὐτόν"6, δηλο- ν[ότ]ι τὸν Ἰησοῦν, "6ἕ[ως ὀ]φρύος τοῦ ὄρους, <ἐφ'> οὗ ἡ πόλις αὐτῶν ᾠκοδόμητο"6, δηλ[οῦντο]ς νῦν τοῦ ὀνόματος τῆς πόλεως τὴν κατασκευασθεῖ[σαν κ]αὶ οἰκοδομηθεῖσαν, ἐν δὲ τῷ "6ὡς δὲ ἦλθεν Ἰησοῦς εἰς Ἱ[εροσό]λυμα, ἐσείσθη πᾶσα ἡ πόλις"6 τοῦ ἀθροΐσματ[ο]ς τοῦ περιεχ[ομέν]ου 181 τῶν ἀνθρώπων ὑπὸ τῆς πόλεως σημαινομέ[ν]ου. Καὶ πάλιν ἐν τῷ "6ἤρξατο ὁ Ἰησοῦς ὀνειδίζειν τὰς πόλει[ς ἐν αἷς ἐ]γένοντο αἱ πλεῖσται δυνάμεις αὐτοῦ, ὅτι οὐ μ[ετε- νόησαν"6 αὐ]τὸ [τοῦ]το δηλοῦται· μετάνοια γὰρ οὐκ ἐν ἀψύχοι[ς οὐδὲ ἐν ὑλ]ικο[ῖς] γίνεται, τοῦ ὀνόματος τοῦ οἴκου σημαίνον[τος τὸ μὲ]ν οἰ[κο]δόμημα ἐν τῷ "3ἥδε τοῦδε οἰκ[ία"3··· ··]. ου··τη συναγωγή, τὸ δὲ ἀθρόϊσμα, ἐπὰν λέγητ[··· ··· ·]υ [·]··δε ὁ βασιλικὸς καὶ ὁ δεσμοφύλαξ καὶ ἡ οἰκία [··· ··· ·]η.   Τὴ[ν δ]ὲ αἰτίαν τοῦ εἰς τὴν κιβωτὸν εἰσελθεῖν ἐ[πάγων] φησίν· "6[ὅτι] σὲ εἶδον δίκαιον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐναντίον ἐμοῦ"6. Οὐχ ἁπλῶς "6[ὅτι σ]ὲ εἶδον"6 [εἶπ]ε̣ν, –καὶ γὰρ ὁ Ἄβελ δίκαιος ἦν καὶ ὁ Ἐνὼς ο[ὗ ἐλπὶς] τὸ "6ἐ[πικαλ]εῖσθαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ"6, –ἀλλ' "6ὅτι σὲ εἶδ[ον δίκ]αιον [ἐνωπί]ον ἐμοῦ ἐν τῇ γενεᾷ ταύτῃ"6, τῇ παρού[σῃ δ]ηλον[ότι. Ο]ὐ παρίσταται ὅτι διὰ τὴν τούτου ἀρετὴ[ν καὶ ο]ἱ παῖ[δες αὐ]τοῦ μετέχοντες αὐτῆς ἐσώθησ̣α[ν, γενε]ὰν [δέ, ὡς] προείρηται, τὴν ὁμοτροπίαν δηλ[οῖ, καθ]ὰ πα[ρεθέ]μεθα καὶ ἐν τοῖς φθάσασιν. Προσέ[τι δηλοῖ] τ̣ο̣ὺς [τοῦ α]ὐτοῦ τρόπου γενεὰν λέγεσθαι τὸ "6ζη[τηθή- σεται π]ᾶν αἷμα δ]ίκαιον ἐκκεχυμένον ἐπὶ τῆς γῆς ἀπὸ τ[ῆς γενεᾶς] τού[της]"6. Ἐν τῇ τῶν δικαίων γενεᾷ, ἵνα λάβωμ[εν τοὺς] σὺν [αὐτ]ῷ δικαίους, αὐτὸς εὑρέθη ἐναντίον αὐ[τοῦ δίκαιο]ς, οὐ [παν]τὸς δικαίου ἐναντίον Θεοῦ δικαίου <ὄ>ντος· [δίκαιοι] γὰρ υἱοὶ [κ]αὶ γυναῖκες ἐναντίον Νῶε ἐτύγχανον [μόνον]. Μέγα [δὲ ο]ὕτως ἐστὶν τὸ ἐναντίον τοῦ Θεοῦ εἶναι δίκ̣α̣[ιον, ὡς] λέγεσ[θαι]· "6Ἄστρα δὲ οὐ καθαρὰ ἐνώπιον αὐτοῦ"6 καὶ [τὰ ἄλλ]α φῶτα· ἀλλὰ καὶ ἐν ψαλμοῖς λέγεται· "6Οὐ δικαιω[θήσε]ται κατενώπιον σου πᾶς ζῶν"6, καὶ πάλιν ἕτερον [λόγιό]ν φησιν· "6Ὡς ῥάκος ἀποκαθημένης πᾶσα ἦν δικαιοσύ[νη ἡ]μῶν"6 ἐκ πρ[ο]σώπου πάντων τῶν δικαίων. 182 η̣ιι, 2–3. Ἀπ[ὸ δὲ τῶν] κτηνῶν τῶν καθαρῶν εἰσάγαγε πρὸς σὲ ἑπτὰ ἑπτ[ὰ ἄρσεν] καὶ θῆλυ, ἀπὸ δὲ τῶν κτηνῶν τῶν μὴ ὄντω[ν καθα]ρῶν δύο δύο ἄρσεν καὶ θῆλυ, καὶ ἀπὸ τῶν πετε[ι]νῶν [τοῦ οὐραν]ο̣ῦ̣ τῶν καθαρῶν ἑπτὰ ἑπτὰ ἄρσεν καὶ θῆλυ, καὶ ἀ[πὸ τῶν] πετεινῶν τῶν μὴ καθαρῶν δύο δύο ἄρ[σεν] καὶ θ[ῆλυ δια]θρέψαι σπέρμα ἐπὶ πᾶσαν τὴν γῆν. Ἀκο[λούθως] "6ἑπτὰ [ἑπτὰ]"6 ἀπὸ τῶν καθαρῶν προστάττει εἰσαγ[αγεῖν]. Ἐπει[δὴ γὰρ] αὐτῶν καὶ πρὸς τροφὰς καὶ πρὸς ἱερουρ[γίας ἔ]μελλ[ον ἄνθρ]ωποι καὶ αὐτοὶ δὲ οἱ ἐν τῇ κιβωτῷ ἐ[μμένον]τες χ[ρείαν ἔχ]ειν, διὰ τοῦτο πλείονα κατα[λαμβάνο]ν[ται, ἵν' ἐξ α]υ̣'τῶν καὶ πλείων γένηται διαδοχὴ π[ρὸς] τὰς α[ὐτῶν χ]ρείας κατάλληλος· ἐπὶ δὲ τῶν αλλω· [··· ·]κότω[ν ··· ··· τ]οσαύτην εἰσαγόντων χρείαν "6δύο δύο"6 [εἰσ]άγεσ[θαι προσέ]τ̣αξεν. Εἰ δὲ δεῖ καὶ φυσιολογίαν εἰσάγ[ειν] τῷ λόγ[ῳ ··· ···]ωπονοις λέγοιτ' ἄν, ὡς καὶ πρὸ τούτου, [ὅτι, ἐ]πεὶ ἡ δ[υὰς διαι]ρετή, τοῦτο δὲ τῇ ὕλῃ οἰκεῖον, οἰκεῖος [τοῖς] μὴ καθ[αροῖς ὁ] δύο ἀριθμός. Ἀλλὰ καί, τοῦ δύο ἀναιρέτ[ου], ὁ Σωτὴρ κ[αλεῖ "6εἰς] ἕνα καινὸν ἄνθρωπον"6 τοὺς δύο, τόν τε ἐ[κ] περιτομ[ῆς καὶ] τὸν ἀπὸ ἐθνῶν εἰς τὴν ἑνότητα τῆς κ[α]τὰ τὸ ε[ὐαγγέλ]ιον πολιτείας εἰσάγων, ἥντινα οἱ παλαι[οὶ] ἅγιοι ἔ[σχον, 183 μ]ηδεμιᾶς οὔσης διαφορᾶς ἑλληνισμο[ῦ] καὶ ἰουδαισμοῦ. Ἀφ' οὗ γὰρ τέχναι ἐξ ὧν ἀγάλ[ματα, καὶ ἡ] δὲ μετ' αὐτὰς εἰδωλολατρεία, καὶ ἐξότε νόμ[ος, γίνετα]ι̣ ἰο[υ]δαισμός. Ἡ πρώτη οὖν τῶν ἀνθρώπων πολιτεί[α, ἥτις χρι]στ[ια]-νισμοῦ ἐτύγχανεν, εἰ καὶ μὴ ἡ προσηγορί[α αὕτη, κ]ατὰ τὰς κοινὰς ἐννοίας ὑπάρχει, ὅπερ καὶ ὁ Σωτὴ[ρ ··· ··]· ἐκήρυττεν· "6Πάντα ὅσα θέλετε ἵνα ποιῶ[σιν ὑμῖν οἱ] ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε ὁμοίως"6. Τοῦτο δὲ ἐν τ[ῇ κοινῇ κ]εῖται ἐννοίᾳ· ἃ γὰρ μὴ βούλεταί τις παθεῖν, τα[ῦτα οὔ]τε τῷ πέλας ποιεῖν ὀφείλει. Διὰ δὲ τοῦτο κεῖται το[ῦτο ἐ]ν τῇ κοινῇ ἐννοίᾳ, ἵνα ἀναπολόγητος ᾖ ὁ ἄνθρωπος ε[··· ··]·αγόμενος ὑπὸ τοῦ Θεοῦ. Ὕστερον δέ, διαστραφείσης [τῆς ἐν]νοί[α]ς, ὁ γραπτὸς δέδοται, οὐ μαχόμενος ἐκείνῳ, ἀλ[λὰ ···]·ιων [τοὺς ἀν]θρώπους εἰς αὐτόν· εἴρηται γοῦν· "6Νόμον εἰς βοή[θειαν] δέ[δ]ω- κεν"6. Ο̣ὕτω καὶ τὸ εὐαγγέλιον ἐν ὅλῳ τῷ κόσμῳ [κεκή- ρυκ]ταιἵν[α μὴ] προφασίσηταί τις ὡς μὴ ὑπομνησθείς, [··· ··· ·]·α [··· ··]ν κοινῶν ἐννοιῶν. Ταῦτα μὲν οὖν ὡ[ς πρὸς τὸ ῥη]τὸν [··· ·]ηται· λεκτέον δὲ καὶ ὅτι τὰ καθαρὰ ζῷ[α ··· ··· ·]·· [···]ως ἑπτὰ ἑπτὰ εἰσάγεσθαι [··· ···]ε·[··· ·] γὰρ τὸ εἰπεῖν τὸ ἀκόλουθον τῇ ἱστορίᾳ, ὅτ̣[ι διὰ τὸ] α̣υ̣'τοῖς κ]αὶ πρὸς ἱερουργίαν καὶ πρὸς τροφὴν μέλ[λειν χ]ρῆ̣[σθαι] τοὺς ἀνθρώπους διὰ τοῦτο πλείονα, ἔτι καὶ δι[ὰ τὸν ἀριθ]μῶν λ[όγο]ν, ὅτι πολυΰμνητός ἐστιν ἐν τῇ γραφῇ ·[··· ··· ·]·· ··[·τ]η ἑβδομάδι λέγω, κατέπαυσεν ὁ Θεὸς ···[··· ··]· γ·[··] πλείονας. Εἰς γὰρ τὴν ἀγένητον οἱ περὶ τ[··· ··]ν το[··· ·]ναγουσι τὴν ἑβδομάδα· αὕτη γὰρ παρθέν[ος ἐσ]τὶ καὶ ἀπάτωρ καὶ ἀμήτωρ, ἵν'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἢ τὸ λεγόμενον τοιο̣[ῦ- το]ν̣. Πάντες οἱ̣ ἐντὸς δεκάδος ἀριθμοὶ διπλασιαζόμε[νοι 184 ἢ τ]ριπλασ[ιαζόμενοι π]λὴν τοῦ ἑπτὰ καὶ γεννῶσιν καὶ γεν[νῶνται, ο]ἷον ὁ εἷς γεννᾷ τὸν δύο, καὶ ὁ δύο τὸν τέσσε[ρα] οὕτ[ως γεννη]θεὶς ὑπὸ τοῦ ἑνός, καὶ ὁ τέσσερα τὸν ὀκτὼ γεν[νη]θεὶς [καὶ αὐτὸς] ὑπὸ τῶν δύο, ὁ δὲ πέντε τὸν δέκα, καὶ ὁ ἓξ δέ ποτ[ε γεννώμεν]ος οὐ γεννῶν, ὁ δὲ ἑπτὰ οὔτε ὑπὸ τῶν φθασάντων γ[εννᾶται οὔ]τε τινὰ μεθ' ἑαυτὸν ἕως δεκάδος γεννᾷ· ἀλλὰ καὶ ὁ δύο τὸν ἓξ καὶ ὁ τρία τὸν ἐννέα τριπλασιαζόμενοι γεννῶσιν. Ἔχει δὲ κα[ὶ ἕτερόν] τι προνόμιον· ἐὰν γὰρ ἐν διπλασίονι λόγῳ πολυπλασιά[ζῃς το]ὺς ἀπὸ μονάδος ἀριθμοὺς ἕως ἑπτά, ἴσος ἅμα καὶ τετράγ[ωνος] γίνεται· εἷς γάρ, δύο, τέσσερα, ὀκτώ, δέκα ἕξ, τριάκοντα δύο, [διπ]λασιασθέντα τὸν ἑξήκοντα τέσσερα, ὅστις τετράγωνος [μέν ἐ]στιν, ὀκτὰ γὰρ ὀκτὼ ἑξήκοντα τέσσερα, κύβος δέ, τέτρα γ[ὰρ τέ]σσερα τέτρα ἑξήκοντα τέσσερα. Ἀλλὰ καὶ τριπλα- σιαζόμ[ενοι] ἕως ἑπτὰ πάλιν ἀπὸ μονάδος ἀποτελεῖ τ[ὸν] ἑ̣π̣τ̣ακόσια ε[ἴκοσι ἐνν]έα καὶ αὐτὸν ὄντα τετράγωνον ἅμα κ[αὶ] κύβον· εἷς [γάρ, τρία], ἐννέα, εἴκοσι ἑπτά, ὀγδοήκοντα εἷς, δ[ιακόσια τ[εσσε[ράκοντα τρ]ία, ἑπτακόσια εἴκοσι ἐννέα, ὡς εἴρηται, κ̣[ύβον] ἅμα κ[αὶ τετρά- γων]ον συμπληροῖ, τετράγωνον μὲν οὕτως· [ἑπτὰ εἰ]- κοσάκ[ις εἴκοσι ἑπ]τὰ ἑπτακόσια εἴκοσι ἐννέα, κύβον οὕτως· ε̣[ννεά]κις ἐνν[έα ἐννεά]κις ἑπτακόσια εἴκοσι ἐννέα· σημαίνει μ[ὲν] τὸ τετρ[άγωνον] βεβαιότητα, ὁ δὲ κύβος *** Οὐκ ἀπεικ[ότως] οὖν ἂν εἴη τὰ περὶ τῶν ἀριθμῶν εἰρημέ[να] τῷ μηδὲ[ν ἀρ]γὸν ἐγκεῖσθαι τοῖς θείοις γράμμασιν πεπιστῳ[μέ][ν]ως. Κἀκείν[οις τοῖ]ς εἰρημένοις προσθεῖναι προσήκει ὅτι δεόντ[ως] ζώπυρον κ[αταλ]έλειπται ἐν τῇ κιβωτῷ, ἵνα μή, ἄλλης ἀρχῆς γινο[μέ]νης, ὡς περ[ὶ δύο δ]ημ̣ιουργῶν αἵρεσις εἰσαχθῇ. Εἰ γάρ, καὶ τοσαύτης ἀσφαλείας π[εποι]ημένης, εὑρησιλογοῦσιν οἱ αἱρετικοὶ διαφόρους εἰσά- γον[τες] θεότητας, πόσῳ πλέον εἰ καὶ λόγους πιθανοὺς 185 πρὸς τὴν αὐτῶν κακὴν ὑπόθεσιν ηὕρισκον. ηι, 4. Ἔτι γὰρ ἡμερῶν ἑπτὰ ἐπάγω ὑετὸν ἐπὶ τὴν γῆν τε[σσεράκοντ]α̣ ἡμέρας καὶ τεσσερ[ά]κοντα νύκτας· καὶ ἐξαλείψω [πᾶσαν τὴ]ν ἀν[άσ]τασιν, ἣν ἐποίησα ἀπὸ προσ- ώπου τῆς γῆς. Καὶ [τοῦ]το φιλανθρωπίᾳ Θεοῦ προείρηται ἐπὶ διορ- θώσε̣[ι ··· ·]ον τ[ῷ] ἀκούσεσθαι περὶ τοῦ μετὰ ἑπτὰ ἡμέρας ἔσεσ[θαι κα]τακλυσμόν, καθὰ καὶ ἐν τοῖς φθάσασιν παρεθέμεθ[α τὸ κατὰ] τὸν Ἰωνᾶν κήρυγμα, ὃ καὶ αὐτὸ ἐπὶ μετανοίᾳ γέγονεν [τῶν Νι]νευειτῶν, καθὼς καὶ συμβέ- βηκεν. Τεσσεράκοντα δὲ η̣[μερῶ]ν̣ καὶ τεσσεράκοντα νυκτῶν ἄνωθεν καὶ κάτωθεν ἐπ[ομβρί]α γεγένηται οὕτως, ὥστε ὑπερβαλέσθαι τὰ ὄρη πή[χεις πε]ντε[κα]ίδεκα. Εἰ δὲ καὶ ὁ ἀριθμὸς καθ' ὃν ὁ κατακλυσμ[ὸς γέγ]ονεν ἔχει λόγον, συνεπίσκεψαι ὅπως "6ἐξαλείψω πᾶσ[αν τὴ]ν ἀνά[στασι]ν, ἣν ἐποίησα ἐπὶ τῆς γῆς"6. Τινὲς τὸ τῆς [ἀνασ]τάσεως ·[···]· ἐξειληφότες ᾠήθησαν ἐκ προτέρου κό[σμου] πυρωθέντος [κατ]ὰ τοὺς Στωϊκοὺς τοῦτον ὑφιστάναι κα[ὶ γενέ]σθαι, τῶν [αὐ]τῶν ἐνυπαρχόντων ἐν τῇ ὕλῃ τῇ ἀπὸ τ[οῦδε κ]όσμου [ἀ]παραλλάκτου πρὸς τοῦτον. Τοῦτο δὲ ἐσχε̣[δίασα]ν ἐν[τῇ τ]ῶν δογμάτων ἀποδείξει· οὐ γὰρ οἷόν τε [ἀπαραλλ]άκτως [τὰ κ]ινήματα τῶν ψυχῶν συμβῆναι τοῦ γε[γενημ]ένου [καὶ] τοῦ μέλλοντος, ὥστε ἐν μηδενὶ διαλλά[ττειν]. ηι, 5. Κα[ὶ ἐπ]οίησεν Νῶε πάντα ὅσα ἐνετείλατο αὐτῷ [Κύριος ὁ Θ]εός. Ὅτ̣ι [αὕ]τη ἀνθρώπῳ μαρτυρία ἐστὶν τὸ πάντα ἃ ἐνε[τείλατ]ο Κύριος ὁ [Θεὸς] ποιῆσαι, καὶ ἐν τοῖς προλαβοῦσιν εἴρηται. Το[ιαύτ]ης ἀποδοχῆς ἠξιώθη καὶ ὁ μακά- ριος Δαυίδ, περὶ οὗ εἶπε[ν ὁ Θ]εὸς εὑρεῖν "6Δαυὶδ τὸν τοῦ Ἰεσσαὶ ἄνδρα κατὰ τὴν καρδίαν [μου, ὃ]ς ποιήσει πάντα τὰ θελήματά μου"6. 186 ηι, 6. [Νῶε δὲ ἦν ἐτ]ῶν ἑξακοσίων, καὶ ὁ κατακλυσμὸς τοῦ ὕδατος ἐ[γένετο ἐπὶ τ]ῆς γῆς. [·]·μ[··· ··· · τ]ὴν ἀγαθότητα τοῦ Θεοῦ, πῶς ἐν ἑκατὸν ὅλοις ἔ[τ]εσιν [τὴν κιβω]τὸν γίνεσθαι συνεχώρησεν· δῆλον γὰρ τοῦτο ἐκ [τοῦ πεντα]κοσίων ἐτῶν εἶναι ὅτε ἤρξατο αὐτὴν ὁ Νῶε π̣οι [··· ··· ··] ἐγίνετο σοφῶς πρὸς τοῦ τὰ ὅλα συστησαμένου, ἵ̣να [βλέψαν]τες τὸ ξένον τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατασκευάσματος οἱ ἄνθρωποι καὶ ἀ[κούσαν]τές τε καὶ μαθόντες τὴν αἰτίαν καὶ παύσωνται τῆς κακίας. [Εἰ ἤκου]σαν μετανοήσαντες, οὐκ ἐπήγετο ὁ κατακλυσμός. Ὅτι δὲ μ[ακροθυ]μ̣ίας χάριν καὶ τοῦ ἐκκαλέσασθαι τοὺς ἀνθρώπους ἐπὶ μετάν[οιαν το]ῦτο γεγένηται, Πέτρος ὁ πρόκριτος τῶν ἀποστόλων ἐν τῇ [κατ' α]ὐτὸν ἐπιστολῇ χαράττει περὶ τοῦ Σωτῆρος· "6Ἐν ᾧ̣ κ[αὶ το]ῖ[ς] ἐν φυλα[κῇ πν]εύμασιν πορευθεὶς ἐκήρυξεν, ἀπειθήσασί[ν πο]τε ὅτε [ἀπεξεδέ]χετο ἡ τοῦ Θεοῦ μακροθυμία ἐν ἡμεραῖς Ν[ῶε κα]τασκευα[ζομένη]ς κιβωτοῦ"6. Καὶ ἐκ τούτου σκοπῶμεν ὅτι εἶπ[εν ὅτι] πολλαὶ ἁ]μαρτίαι "6ἐ]πὶ τῆς γῆς"6 γίνονται· μὴ ἐπάγῃ δὲ ὁ Θεὸς α·[····] ἁμα[ρτ··· ···] διά τινα μακροθυμίαν τοῦτο ποιεῖ τόπον μ̣[ε]τανοίας [διδούς. Ο]ὕτω καὶ μετὰ παράβασιν νόμον δέδωκ[εν] κωλυτικ[ὸν καὶ μετὰ τ]ὰς νουθεσίας προσάγει ἐλέγχους ἀπε[ιλῶν]. Καὶ ἐν τοῖ[ς ··· ··· ·]·ος τοῦτο εὑρήσεις. Ὁ Ἰσραὴλ μερὶς Κυρίου κα[ὶ υἱ]ὸς Θεοῦ ὑπ[άρχων τ]ὰς αὐτοῦ προστάξεις παρέβαινεν, καίτοι Θεο[ῦ] πάντα εἰς [αὐτοὺ]ς ποιοῦντος. Τί γάρ φησιν ἐν τῷ Ἠσαΐᾳ; "6Ἀμπ[ελὼ]ν̣ ἐ̣γεν[ήθη τῷ ἠ]γ̣απημένῳ̣ ἐν κέρατι ἐν τόπῳ̣ πίονι"6, "6κέρα[τι"6 μὲν] τὴν βα[σιλείαν] λέγων, "6πίονι"6 δὲ "6τόπῳ̣"6 σημαίνων τὴν διὰ [νό]μου καὶ πρ[οφητῶ]ν παίδευσιν. "6Καὶ ἐφύτευσα ἄμπελον Σωρή[κ"6], ὅ ἐστιν ἐκλε[κτή· ἐ]πι̣ γὰρ τῷ "6βασίλειον"6 εἶναι "6ἱεράτευμα"6 καὶ ἐκλεκτὴν ἄμπελο[ν εἶν]αι ἐφύτευσεν τὸν λαόν. "6Καὶ ᾠκοδόμησα πύργον"6 ἐπὶ τῷ κα[ταφε]ύ̣γειν 187 τοὺς ἐπερχομένους ἐχθρούς· λόγος δὲ τούτου παιδευτικὸς ὁ πύργος, φρουρῶν ἅμα καὶ ἐκ̣παίων ἐχθρῶν ἔφοδον. Οἰκο<δο>μήσας ἀκούει· "6Ἐὰν πνεῦμα τοῦ ἐξουσιάζον̣-τος [ἀ]νάβῃ ἐπὶ σέ, τόπον σου μὴ ἀφῇς"6. Θριγκόν τε ἐποίησεν κα[ὶ φρ]αγμὸν περιέθηκεν, ἃ δηλοῖ τὴν ἀπὸ τῶν ἀγγέλων ἀσφάλ[ει]αν. Καὶ ὁμῶς ἐν τῇ αὐτῇ ἀκαρπίᾳ, τοσούτων γεγενημένων, διέμεινεν· διό φησιν· "6Τί ἔτι ποιήσω τῷ ἀμπελῶνί μου καὶ οὐκ ἐποίησα αὐτῷ;"6 πάντα πεποίηκα ἀνελλιπῶς, διόπερ, ἐπεὶ αὐτοὶ οὐκ ἔχουσιν εἰπεῖν ὃ δεῖ γενέσθαι, ἐγὼ ἐρῶ, "6ἀπαγγ̣ε̣λ̣ῶ ὑ[μ]ῖ̣ν τί ποιήσω τῷ ἀμπελῶνί μου"6· ἀφελῶ ἃ δέδωκα αὐτῷ, "6καθελῶ τὸν τοῖχον αὐτοῦ καὶ ἔσται εἰς καταπάτημα, καὶ τὸν φρ̣αγμὸν ἀφελῶ καὶ ἔσται εἰς διαρπαγήν"6. Χρήσιμον γὰρ τῶν ἀνωφελῆ τὴν ἀπ' ἀγγέλων δεξαμένων βοήθειαν ταύτην προσαφελεῖν· [ἵνα ὁρῶ]ντες οἷ κακῶν εἰσιν ποθήσωσιν ἐπιστρέψαι, [δ]ι̣όπερ καὶ ἐ[λέγ]χει λέγων· "6Καὶ ταῖς νεφέλαις ἐντελοῦμαι τὸ μὴ βρέξαι ε̣[ἰ̣ς] α̣ὐτὸν <ὑετόν>"6, αἵτινες τοὺς προφήτας δηλοῦσιν καὶ τ̣οὺς δια- κόνους τ[οῦ πνε]υματικοῦ ὑετοῦ, περὶ ὧν εἴρηται· "6Αἱ νεφέλαι ῥ̣ανάτωσ[αν] δικαιοσύνην"6. Τούτῳ γὰρ τῷ ὑετῷ οὐ δεόν[τως] ἐχρήσατο α̣ʼ[ντὶ] σ̣ταφυλῆς ἀκάνθας ἐνεγκών· διόπερ ἐξώ[λεια] το[ῦ] Ἰ̣σρα[ὴλ γέ]γονεν τοσαύτην ὠφελίαν μὴ δεξαμέ[νου]. Οὑ̓τως ει[·····] ὁ κατακλυσμὸς ἐπήχθη, μηδὲν τῶν ἀ̣νθρώπ̣ων ἐν τῇ ἑαυ[τῶν] π̣ροθυμίᾳ̣ ὠφεληθῆναι θελησάντων. Δ̣····η̣τοι ἔσται [ἡ τοῦ] καθόλου συντέλεια σπάνει ἀρετῆς ὑφισταμέ[νη], καθὰ καὶ ὁ Σ[ωτήρ φ]ησιν· "6Ἄρα ἐλθὼν ὁ Υἱὸς τοῦ ἀνθρώπου εὑρήσει τὴν [π]ίστιν ἐπὶ τ[ῆς γ]ῆς;"6 ηιι, 7–9. Εἰσῆ[λθ]εν δὲ Νῶε καὶ οἱ υἱοὶ αὐτοῦ καὶ ἡ γυνὴ αὐτοῦ καὶ [αἱ γ]υναῖκες τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ εἰς τὴν κιβωτὸν [διὰ τ]ὸ ὕδωρ τοῦ κατακλυσμοῦ. Καὶ ἀπὸ τῶν πετεινῶν καὶ ἀπὸ [τ]ῶν κτηνῶν τῶν̣ καθαρῶν καὶ ἀπὸ τῶν κτηνῶν τῶν μὴ καθαρῶν [καὶ] ἀπὸ πάντων τῶν ἑρπετῶν τῶν ἐπὶ τῆς γῆς δύο δύο εἰσῆλθον π[ρὸς Ν]ῶ̣ε εἰς 188 τὴν κιβωτὸν ἄρσεν καὶ θῆλυ κατὰ ἐνετείλατο αὐτῷ̣ ὁ Θεός. Δῆ[λό]ν ἐστιν ὅτι, σημείων τινῶν τοῦ κατακλυσμοῦ ὑπαρξάντων καὶ φανέν̣των τῷ Νῶε οἷον τῆς ὑγρᾶς τῆς γῆς ἢ τῶν ὁμο[ιο]τ̣ρόπων, εἰσῆλθεν εἰς τὴν κιβωτὸν ὁ Νῶε, οὐ πολλοῦ διαγεγονότος [χρό]νου. Τὰ δὲ περὶ τοῦ μετὰ τοῦ Νῶε τοὺς υἱοὺς καὶ μετὰ τῆς γυναικὸς τὰς γυναῖκας τῶν υἱῶν εἰσεληλυθέναι παρατηρηθέντα πρότερον εἴρηται· οὐ γὰρ ἥρμοζεν, τοσαύτης κολάσεως ἐπὶ πάντας ἐλθούσης, αὐτοὺς τὰ τῶν γάμων ἐπιτελεῖν· διόπερ πρὸς καιρόν, ἵν' ἀπὸ τούτων σχολάσωσιν, διεῖλεν τὰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συζυγίας ἀποδιδοὺς αὐτὰς ἐν τῇ ἀπὸ τῆς κιβωτοῦ ἐξόδῳ. Ἀπὸ κοινοῦ δὲ καὶ τὰ ζῷα εἰσεληλυθέναι φησίν, τῶν καθαρῶν προτέρων μνημονεύσας διὰ τὸ τίμιον· καὶ τὰ προειρη- μένα δέ, ὅτε πρὸς τοῦ Θεοῦ προσετάττετο Νῶε εἰσαγαγεῖν ἀπὸ τῶν ζῴων εἰς τὴν κιβωτόν, καὶ ἐνταῦθα συμβαλεῖς, ἵνα μὴ ἀεὶ τὰ αὐτὰ λέγωμεν. ηιι, 10–19. Καὶ ἐγένετο μετὰ τὰς ἑπτὰ ἡμέρας καὶ τὸ ὕδωρ τοῦ κατ[ακ]λυσμοῦ ἐγένετο ἐπὶ τῆς γῆς ἐν τῷ ἑξακοσιοστῷ ἔτει ἐν τῇ [ζωῇ] τ̣οῦ Νῶε, τοῦ δευτέρου μηνός, ἑβδόμῃ καὶ εἰκάδι τοῦ μην[ός]. Παρετήρησάν [τ]ι̣νες διὰ τὸ ἐν ἀριθμῷ τοιούτῳ ἐπῆχθαι τὸ[ν κ]ατακλυ[σ]μὸ[ν λέ]γοντες ὅτι, ἐπειδὴ ἐπὶ τελειότητι ἔργου ε[··· ·] γον[···]ε·[·]α̣[·]·ς ἐξᾶραι, διὰ τοῦτο τούτου ἐμνήσθη, τε[λείας] ἐπιρύσεως γινομένης, ἥτις ἐπὶ σωτηρία̣ τοῦ κόσμ[ου ἐγίνε]το. Καὶ τὸ τοὺς ἁμαρτωλοὺς γὰρ ἀφαιρεθῆναι ἀπὸ τῆς [γῆς καὶ] τὸ ἀρχὴν λαβεῖν τὸ τῶν ἀνθρώπων γένος σὺν ἀρετῇ ζῆν τ[έλειόν] ἐστιν· καὶ ὥ[σπ]ερ ἀρίστου ἰατροῦ ἐστιν οὐ μόνον ἐκτεμε[ῖν σῆ]ψιν γεγενημένην σωμάτων, ἀλλὰ καὶ ἐπαυξῆσαι σάρκ[ας ἀν]τὶ τῶν σῆψιν ὑπομεινασῶν, οὕτω Θεοῦ ἔργον ἁμαρτωλοὺς φ[θεῖρ]αι, ἵνα ἀρχὴν λάβωσιν οἱ κατὰ δικαιοσύνην ζῶντες. Ἀμέλει γοῦν μ̣ετὰ ταῦτα ε̣ʼ[γ]ένοντο Ἀβραὰμ Ἰσαὰκ Ἰακώβ. Εἰ δὲ καὶ πρὸς ἀναγωγήν τις ἐθέλοι, [λ]έγοι ἂν ὅτι, ἐπεὶ ὁ <ἑ>πτὰ ἀριθμὸς ἀναπαύσεώς ἐστι σύμβολον, [ὁ ἐ]ν 189 τούτῳ μένειν μὴ βουλόμενος διὰ τὸ μὴ ἐκλέγεσθαι τὴν ἀνάπαυσιν ἐκείνην, περὶ ἧς ὁ Σωτήρ φησιν· "6Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ μάθετε ἀπ' ἐμοῦ ὅτι πραΰς εἰμι κ[α]ὶ τα[πε]ινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμ[ῶ]ν"6, ὑπὸ τὸν κατακλυσμὸν τῆς ἁμαρτίας γίνεται καὶ τὴν κόλασιν τὴν ἐπαγομένην διὰ τὴν κακίαν. Τοῦτο δὲ συμβαίνει ἐν τῷ ἑξακοσιοστῷ ἔτει οὔπω πληρωθέντι, διὰ συμβόλου δεικνυμένου ὅτι καὶ ἐν τοῖς αἰσθητοῖς ἀτελεῖς ἦσαν οἱ ὑπὸ τὸν κατακλυσμὸν γεγενημένοι, οὐχ ὡς δεῖ οὐδὲ τούτοις χρώμενοι. Τὰ γὰρ ἑξακόσια συγγένειαν ἔχει πρὸς τὸν ἕξ, ἐν ἓξ ἑκατοντάσιν συμπλη- ρούμεν<α>. Εἰ δὲ δεῖ καὶ εἰς τὸ "6ἑβδόμῃ καὶ εἰκάδι"6 γεγενῆσθαι τὸν κατακλυσμὸν εἰπεῖν, λεχθείη ἂν τοῦτο· οὐ πᾶσα ἀπειλὴ βεβαιοῦται, ἐξ ἡμῶν ἢ συμπληρου̣[μ]ένη ἢ παυο- μένη, καθὰ καὶ ἐπὶ Νινευειτῶν γέγονεν· ἐπεὶ ο[ὖ]ν ὁ ἀριθμὸς οὗτος βεβαιότητός ἐστι σύμβολον, –τρεῖς [γ]ὰρ τρὶς τρίς–, διὰ τοῦτο ἐν αὐτῷ ἐπήχθη κατὰ τῶν μ̣[ὴ ἐπι]στραφέντων ἀλλ' ἀμετακινήτως ἐχόντων πρὸς κακ[ίαν] βεβαία κόλασις. "6Ἐν ἑξακοσιοστῷ"6 δὲ λέγει γεγενῆσθαι τ̣[ὸν] κατα- κλυσμὸν ἐξ ἄκρου αὐτοῦ ἁψάμενος. Τοῦτο δὲ ἔθος [τῇ γ]ραφῇ, καθὰ καὶ ὁ Σωτήρ φησιν· "6Ὥσπερ γὰρ Ἰω̣νᾶς ἔμενεν [ἐν τῇ κ]οιλίᾳ τοῦ κήτους <τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας>, οὕτως <ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου> ἐν τῇ καρ- [δίᾳ τ]ῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας"6. Εἰ γὰρ δι' ὅλου τις τού[του] ἔχοιτο, ὁλοκλήρους λέγων ἡμέρας τρεῖς καὶ νύκτας αὐ[τὸν] μεμενηκέναι, ψεύδεται· τῇ γὰρ ἕκτῃ ὥρᾳ τῆς παρασκ[ευῆ]ς ἐσταυρώθη, ἥντινα ἡμέραν καλεῖ, ἐκ τοῦ ἅψασθαι τῆς [ἡμέρ]ας οὕτως ὀνομάζων –δηλονότι καὶ τῆς νυκτὸς παραλαμ̣[βα]νομένης, πάσῃ τῇ ἡμέρᾳ ἡ παρελθοῦσα νὺξ συμμετρεῖται, καὶ τῆς συνηθείας οὕτως ἐχούσης ὡς τὰς νύκτας ἐπιγινομένων ἡμερῶν λογίζεσθαι–, μεθ' ἣν νὺξ πληρεστάτ[η] καὶ ἡμέρα τοῦ σαββάτου, εἶτα νὺξ καὶ τὸ ἄκρον τῆς ἀνα- στασί[μο]υ ἡμέρας, ἥψατο γὰρ καὶ αὐτῆς. Καὶ οὕτω ἐξ 190 ἄκρου τοῦ τε πρώ[του δια]στήματος τοῦ νυχθημέρου τῆς παρασκευῆς ἁψάμενος καὶ τοῦ τῆς κυριακῆς, ὅλου τε τοῦ νυχθημέρου τοῦ σαββάτου, τρεῖς ἡμέρα[ς κα]ὶ τρεῖς νύκτας διατετελεκέναι ἐν τῇ καρδίᾳ τῆς γῆς εἴρηται. [Ταῦ]τα δὲ ὡς ἐν παρεκβάσει ἡμῖν εἴρηται, δηλῶσαι βουλομένοις ὅτι ἡ γραφὴ συνηθῶς ἐξ ἄκρου τῶν χρόνων ἁπτομένη χρῆται τοιούτοις τρόποις. ηιι, 11–12. Τῇ ἡμέρᾳ ταύτῃ ἐρράγησαν πᾶσαι αἱ πηγαὶ τῆς ἀβύσσου, καὶ οἱ καταράκται τοῦ οὐρανοῦ ἠνεῴχ- θησαν, καὶ ἐγένετο ὁ ὑετὸς ἐπὶ τῆς γῆς τεσσεράκοντα ἡμέρας καὶ τεσσεράκοντα νύκτας. Ὁ ἀριθμὸς οὗτος κακωτικός ἐστιν. Καὶ γὰρ οἱ υἱοὶ Ἰσραὴλ τοσαῦτα ἔτη διετέλεσαν ἐν τῇ ὁδοιπορίᾳ,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ Μωσῆς δὲ αὐτὸς τεσσεράκοντα ἡμέρας ἄρτον οὐκ ἔφαγεν, ἀλλὰ καὶ ὁ Σωτὴρ ἐν τούτῳ τῷ ἀριθμῷ τω̣ν ἡμερῶν ἐνήστευσεν, ὅπερ τοῖς μὴ παρε[ρ]χ̣ομένοις παρέργως τὰ θεῖα γράμματα παρέξει διάνοιαν ἀκόλουθον. Διὸ καὶ ἡ φορὰ τοῦ ὕδατος ἐν τοσούτῳ γέγονεν ἡ[μερῶν] ἀριθμῷ.Ζητήσειεν ἄν τις τὰ περὶ τῶν καταρακτῶν τοῦ οὐραν[οῦ] [ἐ]κ̣εῖνα παρατιθέμενος, ὅτι προσκαλούμενος ὁ Θεὸς τὸ ὕδωρ [τῆς] θαλάσσης τὸν υ̣ἑτὸν ἐπιπέμπει, πῶς ὁ κατακλυσμὸς γέγονε[ν], τρόπον τινὰ μηχανῆς τρόπῳ ἐκ τῆς θαλάττης τοῦ ὑετοῦ [γι]νομένου καὶ πάλιν ἐπ' αὐτὴν ἰόντος· πρὸς ὃ λεχθείη ὅτι [πρῶ]τον μὲν αἱ πηγαὶ τῆς ἀβύσσου ῥαγεῖσαι τὴν χορηγίαν παρέσχον, –καὶ γάρ, ἅτε ἐπισχεῖν ἐβουλήθη, ἀναγέγραπται· "6Ἐπεκαλύφθη- σαν αἱ πηγαὶ τῆς ἀβύσσου"6, –ἔπειτα οὐδὲν ἀπεικὸς καὶ τὸ ποσ[ὸν] τοῦ ὕδατος ἐπαύξειν τὸν Θεόν, καθάπερ ἐν τοῖς εὐαγγελίοις [ο]ἱ πέντε ἄρτοι ἐπὶ πεντακισχιλίους ηὐξήθησαν. η̣ιι, 13–16. [Ἐ]ν] τῇ ἡμέρᾳ ταύτῃ εἰσῆλθεν Νῶε, Σήμ, Χάμ, Ἰάφεθ, οἱ υἱοὶ Νῶε, καὶ ἡ γυνὴ Νῶε καὶ αἱ τρεῖς γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ εἰς τὴν κιβωτόν, [κ]αὶ πάντα τὰ θηρία κατὰ γένος καὶ πάντα τὰ κτήνη κατὰ γέν̣[ος καὶ] πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς κατὰ 191 γένος καὶ πᾶν πετεινὸν κατὰ γένος. Εἰσῆλθον πρὸς Νῶε εἰς τὴν κι[βω]τὸν δύο δύο ἀπὸ πάσης σαρκός, ἐν ᾧ ἐστιν πνεῦμα [ζ]ωῆς. Καὶ τὰ εἰσπορευόμενα ἄρσεν καὶ θῆλυ ἀπὸ πάσης σαρκ̣ὸς εἰσῆλθον, καθὰ ἐνετείλατο ὁ Θεὸς τῷ Νῶε. Δῆλον ὡς οὐκ ἀθρόως ὁ κατακλυσμὸς γέγονεν, ἀλλὰ παρέσχεν τι καὶ σημεῖον, ὡς καὶ πρότερον εἴρηται, ἵν' εὐαγώγως τὰ <ἄλογα> ἐπὶ τὴν κιβωτὸν εἰσέλθωσιν καὶ μὴ συμπεφυρμένως, καὶ ὅπως μή, ἀθρόως τοῦ ὕδατος ἐπιρρεύσαντος, καὶ τῆς κιβωτοῦ βλάβη γένηται, προσαρα- ξάντων τῶν ὑδάτων. Ἐν τάξει δὲ καὶ ἡ εἴσοδος γέγονεν πρώτου Νῶε, δι' ὃν καὶ οἱ ἄλλοι ἐσῴζοντο, εἶθ' ἑξῆς καὶ οἱ ἄλλοι καὶ οὕτω τὰ ἄλογα εἰσῆλθον, ὅπερ παρατηρητέον ὅτι θείᾳ δυνάμει γέγονεν· οὐδὲ γὰρ ἀνθρωπίνης ἦν ἐπιχει- ρήσεως τὰ ἀτίθασα εἰσαγαγεῖν, εἰ μὴ Θεοῦ γεγόνει συνεργεί̣α. Εὖ δὲ καὶ τὸ "6κατὰ γένος"6· οὐ γὰρ οἷόν τε ἦν ἅμα εἶναι αὐτῶν τὴν δίαιταν, διῃρημένω[ν ταῖς] φύσεσιν. Προσέθηκεν δὲ τὸ "6ἐν ᾧ ἐστιν πνεῦμα ζωῆς"6 πρὸς ἀντιδιαστολὴν νεκρῶν. Σημειώσαιτο ἄν τις πῶς [οὖ]ν ο[ὐκ ἐ]μ̣νήσθη τῶν καθαρῶν ἀλλὰ τῶν μὴ καθαρῶν· "6δύο [δύο]"6 γ[άρ φη]σιν "6εἰσῆλθον εἰς τὴν κιβωτόν"6, δῆλον δὲ ὅτι ταῦτα [ἦσ]α̣ν̣ [τὰ μὴ] καθαρά· πρὸς ὃ λέγοι τις ὅτι φανερὸν ὅτι, τῶν μ̣ὴ̣ κ[αθαρῶ]ν εἰσελθόντων, καὶ τὰ καθαρὰ εἰσῄει· εἰ γὰρ τὰ ἐλάτ̣[τονα] εἰσῄεσαν, δῆλον ὅτι τὰ κρείττω. Ἔπειτα τὸ "6δύο δύο"6 εἴη [ἂν καὶ] περὶ τῶν καθαρῶν ἐκλαβεῖν, δηλοῦντος τοῦ λόγου ὅτι κ[ατὰ] σ̣υζυγίαν τὰ πάντα εἰσῆλθεν. η̣ιι, 16–18. Καὶ ἔκλ[εισε] Κύριος ὁ Θεὸς ἔξωθεν αὐτοῦ τὴν κιβωτόν, καὶ ἐγένετο ὁ κατα[κλ]υ̣σμὸς τεσσεράκοντα ἡμέρας καὶ τεσσεράκοντα νύκτα̣ς ἐπὶ τῆς γῆς, καὶ ἐπληθύνθη τὸ ὕδωρ κ<αὶ> ἐπῆρεν τὴν κιβωτόν, καὶ ὑψώθη ἀπὸ τῆς γῆς, καὶ ἐπεκράτει τὸ ὕδωρ καὶ ἐπληθύνετο σφόδρα ἐπὶ τῆς γῆς, καὶ ἐπεφέρετ[ο] ἡ κιβωτὸς ἐπάνω τοῦ ὕδατος. 192 Καὶ πρὸς τὴν ἱστορίαν αὐτὴν ἀκολούθως Θεοῦ δυνάμει "6ἔξωθεν"6 κέκλεισται ἡ κιβωτός, ἀνθρώπου μὴ ὑπάρχοντος ἔξωθε̣[ν]. Ἐπεὶ γὰρ ἅπασαν ἀσφαλτώσας ἐτύγχανεν ἔσωθεν κα̣[ὶ ἔ]ξωθεν, τὴν δὲ θύραν μήπω κλεισθεῖσαν οὐχ οἷός τε ἦν ἔξ[ω]θεν ἀσφαλτῶσαι, πρὸς τὸ μὴ ἄν τινα εἰπεῖν ὅτι διὰ τῆς θύρας εἴσοδος ἐγίνετο τῷ ὕδατι, τὴν ἀπὸ Θεοῦ ἀσφάλειαν προσέθηκεν· ποικίλη δὲ αὕτη καὶ εὔπορος. Καλῶς δὲ καὶ τὸ "6ἐπῆρεν τὴν κιβωτὸν"6 ὁμαλῶς καὶ οὐκ ἀθρόως, καθὰ καὶ πρότερον τὴν αἰτίαν παρεθέμεθα. η̣ιι, 19–20. Τὸ δὲ ὕδωρ ἐπεκράτει σφόδρα σφόδρα ἐπὶ τῆς γῆς καὶ ἐπεκάλυψεν πάντα τὰ ὄρη τὰ ὑψηλά, ἃ ἦν ὑποκάτω τοῦ οὐρανοῦ· πεντεκαίδεκα πήχεις ἐπάνω ὑψώθη τὸ ὕδωρ. Περιττῶς οἱ φάσκοντες διασεσῶσθαι ἀνθρώπους εἰς τὰ ὑψηλὰ ὄρη φασίν. Καὶ γὰρ ἐσημειώσατο ὡς πεντεκαίδεκα [π]ήχεισἐπήρθη τὸ ὕδωρ ἐπάνω τῶν ὑψηλῶν ὀρῶν, ἐξ οὗ δῆλον ὡς ἐκεῖνο εἰκαίως εἴρηται, μάλιστα ὅτι καὶ ἐ̣ν̣α̣ν[τίον] τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βουλήματος τοῦ Θεοῦ τυγχάνει· τῷ Νῶε γὰρ δικαιοσύνης ἕνεκα κιβωτὸν κατασκευάσαι προσέ- ταξεν ο̣ [Θεὸς] λέγων ὅτι πᾶσαν σάρκα καταφθερεῖ, ὥστ' οὐ διεσώ[θη] τις ἔξω τῆς κιβωτοῦ. Καὶ περὶ τοῦ ὑψῶσθαι δὲ τ[ὸ ὕδωρ] ἐπάνω πήχεις δεκάπεντε, εἴ τις ἐθέλοι τῷ ἀριθ[μῷ ἐ]πιστάνων, θεωρήσει ὅτι πολλαχοῦ τῆς γραφῆς [παρα]λαμβάνεται· οἱ τοῦ ναοῦ ἀναβαθμοὶ δεκάπεντε [ἦσα]ν̣, καὶ διδόναι προστάττει ὁ λόγος "6μερίδα τοῖς ἑπ[τὰ] καί γε τοῖς ὀκτώ"6, νοουμένου τούτου ὅτι οἱ μὲν πρ[ο]σ̣ι̣έμενοι τὴν παλαιὰν μετὰ καὶ τῆς νέας μέρος τοῖς ἑπτὰ καὶ τοῖς ὀκτὼ παρέ- χουσιν. Πιθανῶς ἂν εἴποι τις ὅτι οἱ καταφρονηταὶ γεγενη- μένοι τοῦ διὰ τοῦ ἀριθμοῦ σημαινομένου μυστηρίου ὑπὸ τὸν κατακλυσμὸν [γε]γένηνται τῆς κακίας. Σημαίνεται γὰρ πάλιν ἐνταῖς [γρα]φαῖς ὑπὸ τοῦ πλήθους τοῦ ὕδατος 193 ὡς ἐν τῷ "6Τί λογίζεσθε ἐπὶ τὸν Κύριον; Συντέλειαν ***"6· εἰ γάρ τις λογίσαιτο ὅτι τὰ ῥευστὰ τοῦ βίου πράγματα ἀντὶ κατακλυσμοῦ λαμβανόμενα, ὅτε πληθύ̣ν̣ε̣ι̣, ψυχομένης [τ]ῆς τῶν πολλῶν ἀγάπης, συντέλεια ἔσται, προσεχῶς ἐν τῷ [λ]όγῳ νοήσειεν. ζ̣ιι, 21–23. Καὶ ἀπέθανεν πᾶσα σὰρξ κινουμένη ἐπὶ τῆς γῆς τῶν πετεινῶν καὶ τῶν κτηνῶν καὶ τῶν θηρίων· καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς καὶ πᾶς ἄνθρωπος καὶ πάντα ὅσα ἔχει πνοὴν ζωῆς καὶ πᾶς ὃς ἦν ἐπὶ τῆς ξηρᾶς ἀπέθανεν. Καὶ ἐξηλείφθη πᾶν τὸ ἀνάστημα, ὃ ἦν ἐπὶ προσώπου πάσης τῆς γῆς ἀπὸ ἀνθρώπου ἕως κτήνους καὶ ἑρπετῶν καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ· καὶ ἐξηλείφθησαν ἀπὸ τῆς γῆς. Τὸ μὲν ῥητὸν φανερόν· φθορὰν γὰρ πάντων τῶν ζώντων πλὴν τῶν ἐν τῇ κιβωτῷ δηλοῖ, {πρὸς δὲ διάνοιαν λογιζομένων γάμων}, ὅτι καὶ τὰ ἄλογα ἀπώλετο διὰ τὸ διὰ χρείαν γεγενῆσθαι. Πρὸς δὲ διάνοιαν πᾶς ἀπώλετο ὑπὸ τοῦ κολαστικοῦ ὕδατος ὁ τὸ "6κατ' εἰκόνα"6 ἀπολω- λεκὼς καὶ τοῦ χοϊκοῦ ἔχων τὴν εἰκόνα, ὡς εἰς διάφορα ἤθη σχισθῆναι θηρίων τε καὶ ἑρπετῶν καὶ τῶν ἄλλων ἀλόγων, καθὰ ἀκούουσίν τινες· "6Γεννήματα ἐχιδνῶν"6, καὶ [ἄλ]λοι ὄφεις καὶ σκορπίοι, ἕτεροι δὲ κύνες κατὰ τὸ εἰρημέ[νον]· "6Βλέπετε τοὺς κύνας"6· καὶ ὅλως τὸ πολύτροπον τῆς [κα]κίας ἀναδεξάμενοι εἰκότως τῇ ὑπὸ τῆς κακίας φθορᾷ διελύθησαν, ταύτην τοῦ ὕδατος συμβο- λικῶς ὑποδείκνυντος. Οὗτοι δ' αὐτοὶ καὶ γήϊνοι, ὡς ἀπο- λωλεκότες τὴν ε̣π̣̓ουράνιον εἰκόνα· οἱ δ' αὐτοὶ καὶ "6ἐπὶ τῆς ξηρᾶς"6 ἀπώλοντο, τῆς μηδὲν ζωτικὸν ἐχούσης κακίας. ζ̣ιι, 23–24. Καὶ κατελείφθη μόνος Νῶε καὶ οἱ μετ' αὐτοῦ 194 ἐν τῇ κιβωτῷ, καὶ ὑψώθη τὸ ὕδωρ ἐπὶ τῆς γῆς ἑκατὸν πεντήκοντα ἡμέρας. Εἰκότως Νῶε σῴζεται μὴ μετέχων κακίας μετὰ καὶ τῶν σὺν αὐτῷ, ἅτε παρ' αὐτοῦ παιδευομ̣ένων, ὑπεραναβὰς τὴν φορὰν τοῦ ἀλληγορουμένου ὕδατος πεντεκαίδεκα πήχεις, φθάσας εἰς τὸν ναὸν διὰ τῶν ἀναβαθμῶν, καὶ τὰ προειρημένα δι<ὰ> τοῦ ἀριθμοῦ δηλοῦσθαι πληρώσας· "6῞Υδωρ"6 γὰρ "6πολὺ οὐ δυνήσεται σβέσαι τὴν ἀγά- πην"6. ***

**ζ̣ιιι, 1–3.** Καὶ ἐμνήσθη ὁ Θεὸς τοῦ Νῶε καὶ πάντων τῶν θηρίων καὶ πάντων τῶν κτηνῶν καὶ πάντων τῶν πετεινῶν, ὅσα ἦν μετ' αὐτοῦ ἐντῇ κιβωτῷ. Καὶ ἐπήγαγεν ὁ Θεὸς π[ν]εῦμα ἐπὶ τὴν γῆν, καὶ ἐκόπασεν τὸ ὕδωρ· καὶ ἐπεκαλύφ- θησαν αἱ πηγαὶ τῆς ἀβύσσου καὶ [οἱ] καταράκται τοῦ οὐρανοῦ, καὶ συνεσχέθη ὁ ὑετὸς ἀπὸ τοῦ οὐρανοῦ. Καὶ ἐνεδίδου τὸ ὕδωρ πορευόμενον ἀπ̣[ὸ τ]ῆς γῆς, ἐνεδίδου καὶ ἠλαττονοῦτο τὸ ὕδωρ μετὰ πεντήκοντα <καὶ ἑκατὸν ἡμέρας>. Καὶ τὸ "6ἐμνη΄σθη"6 θεοπρ[ε]πῶς ἀκουστέον, οὐχ ὡς ἐκ λήθης, ἀλλ' ὥσπερ περὶ τῶν ἀσέβων λέγει· "6Οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ· ἀποχωρεῖτε ἐργάται ἀνομίας· οὐδέποτε ὑμᾶς ἔγνων"6, τῆς γνώσεως ἐνταῦθα δηλούσης τὸ "3οὐδέποτε ὡς ἡμετέρους ὑμᾶς ἔσχον"3, "6ἐμνήσθη"6 οὐκ ἐκλαθόμ[ε]νος, –ἐνώπιον γὰρ διὰ παντός ἐστιν τοῦ Θεοῦ ὁ ἅγιος, –ἀλλὰ τὴν ἐπ[ὶ] τὸ ἀγαγεῖν αὐτὸν εἰς τὸ ἀρχὴν γενέσθαι γένους μνήμην αὐτο̣υ῀ εἶπεν, ὁμοίως δὲ καὶ τῶν ἄλλων. Ζητοῦσί τινες ποῦ κεχώρηκεν τὸ ὕδωρ τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατα- κλυσμοῦ, πνεύματος ἐπελθόντος, δι' ὃ κεκόπακεν τὸ ὕδωρ, ὅπερ ἢ τὸ βούλημα τοῦ Θεοῦ εἴη ἢ θεία δύναμις τοῦτο ἐγκεχειρισμένη· πρὸς δὲ τούτῳ καὶ συνεργὸν πρὸς τὸ 195 κοπάσαι γέγονεν ἡ ἐποχὴ τῶν ἀβύσσων καὶ ἡ ἄνωθεν ἐπομβρία κωλυθεῖσα. ῃιι, 4. Καὶ ἐκάθισεν ἡ κιβωτὸς ἐν μηνὶ τῷ ἑβδόμῳ, καὶ τὰ ἑξῆς. Τὸ μὲν ῥητὸν φανερόν· τὸ δὲ πρὸς διάνοιαν ἴδωμεν. Δύναται εἶναι ἡ κιβωτὸς ἡ ἐκκλησία σῴζουσα τοὺς διὰ φρονημάτων <καὶ> ἔργων ἀρετῆς πρὸς αὐτὴν κολλωμένους, ἥτις καὶ ἐν ὕψει καθέζεται. Οὐδέποτε γὰρ ἐν ταπεινῷ γίνεται, διόπερ οὐδὲ πύλαι ᾅδου κατισχύουσιν αὐτῆς· παρίσταται τῷ Χριστῷ ἔνδοξος, οὐκ ἔχουσα σπίλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων, ἐπεὶ καὶ ὁ Χριστὸς ἐν ὕψει ἐστίν, ὃ δηλοῦται ἐν τῷ "6Ἰδοὺ οὗτος ἥκει πηδῶν ἐπὶ τὰ ὄρη"6, τοὺς προφήτας καὶ Μωσέα καὶ τὰς ἀοράτους δυνάμεις. Ἐν τῇ πέτρᾳ οὖν καθέζεται, τῷ ἀρραγεῖ τῆς εὐσεβείας λόγῳ. "6Οἱ θεμέλιοι"6 γὰρ τοῦ Θεοῦ "6ἐν τοῖς ὄρεσιν τοῖς ἁγίοις"6, ἅπερ καὶ πόλις εἰσὶν Θεοῦ· "6Ὁ Θεὸς"6 γὰρ "6ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα"6. "6Ἐξεδέχοντο γάρ"6 φησιν "6τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν"6, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός. Εἴη δὲ ὄρη καὶ εἰσαπομείναντα ¯¯ϛ¯¯Θ¯ πρόβατα τὰ μὴ ὑποπεσόντα τῇ πλάνῃ. Εἰ δὲ καὶ διὰ τὸν ἀριθμόν τις ἐθέλοι τεχνολογεῖν, εἴποι ἂν ὅτι τὸ βέβαιον δηλοῦται δι' αὐτοῦ τῆς θείας ἐκκλησίας· τετράγωνος γὰρ οὗτος, ὁ δ' αὐτὸς καὶ κύβος· τρὶς τρία γὰρ τρὶς εἴκοσι ἑπτά. "6Ἀραριὰδ"6 δὲ ἑρμηνεύεται μαρτυρία καταβάσεως· Θεὸς δὲ μαρτυρεῖ τῷ ἐπὶ τὴν ἐκκλησίαν διὰ πολιτείας [κ]αταφεύγοντι, ὅστις ἀχείμαστός ἐστιν· εἴρηται γάρ· "6Ἐὰν διέλθῃς [δι' ὕ]δατος, ποταμοὶ οὐ συγκλύσουσίν σε"6, καὶ πάλιν· "6Διήλθαμεν [διὰ] πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν"6. Εὖ δὲ καὶ τὸ ἐν ἐνιαυτῷ πληροῦσθαι τὸν κατακλυσμόν· ἐπὰν γὰρ ὁ ἀληθινὸς ἥλιος φωτίσῃ καὶ καταυγάσῃ ἡμῶν τὴν διάνοιαν, τότε πᾶσα περίστασις τῆς ψυχῆς ἐκποδὼν οἰχήσεται. ῃιι, 6. Καὶ ἀνέῳξεν Νῶε τὴν θυρίδα τῆς κιβωτοῦ, καὶ τὰ ἑξῆς. Ḳαὶ ἐνταῦθα οὐκ ἀσαφὲς τὸ ῥητόν· εἰ δὲ πρὸς ἀνα- γωγὴν σκοπεῑ̣͂ς ṣοι ἐραυνήσεις τὰ περὶ ἀνοίξεως, ὅτι 196 καιρῶν ἐπίγνωσις πρέπουσα τῷ δικαίῳ καὶ πρὸς τὴν ἰδίαν ὠφελίαν ἐστὶν καὶ πρὸς τὴν ἄλλων. Ἔστιν γὰρ ὅτε κλείειν πρέπει καὶ ὅτε ἀṿοίγειν· οὕτως, ἀνοί̣ξαντος τοῦ Σωτῆρος, τοῖς περὶ Κλεοπᾶν εἴρηται· "6Οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν, ὅτε διήνοιγεν ἡμῖν τὰς γραφάς;"6 ἀλλὰ καὶ τὸ "6Ἀνοίξατέ μοι πύλας δικαιοσύνης"6 σκοπήσεις εἰ συμβάλλεται τῷ ῥητῷ, καὶ τὸ προσταττόμενον ἐν τῷ Ἠσαΐᾳ "6Ἀνοίξατε οἱ ἄρχοντες"6 ἀπὸ τῆς αὐτῆς ἀκολου-θίας σκοπήσεις· καὶ τὸ κεκλεῖσθαι κατὰ τὸ εἰρημένον· "6Μὴ βάλητε τὰ ἅγια τοῖς κυσίν"6· ὅτε γάρ τις καθηκόντως κλείει ἢ ἀνοίγει, οὗτος μιμητὴς τοῦ Νῶέ ἐστιν. ῃιι, 7. Καὶ ἀπέστειλε τὸν κόρακα, καὶ τὰ ἑξῆς. Οὐ πάντες οἱ ὑπὸ τὴν ἐκκλησίαν τῆς αὐτῆς ἀγωγῆς ὑπάρχουσιν, ἀλλ' οἱ μὲν περιστεραί, οἱ δὲ κόρακες τυγχά- νουσιν, σύμβολα τυγχάνοντες τρόπων καὶ ἠθῶν. Καὶ περιστερὰ μέν ἐστιν καθαροῦ βίου σημεῖον, αὕτη γὰρ ἐν τοῖς καθαροῖς τέτακται καὶ εἰς θυσίαν ἀναφέρεται, ὁ δὲ κόραξ οὐδέτερον ἔχει. Κατὰ ταύτην τὴν διάνοιαν ἐκληπτέα ἐστὶν καὶ ἡ κατὰ Ἠλίαν ἱστορία, ὡς κόρακες αὐτὸν ἔθρεψαν· ὅτε γὰρ διδάσκαλος ἀκάθαρτον μεθίστησιν τῆς ἀκαθαρσίας ὡς μεταβα[λ]εῖν αὐτὸν τοῦ τρόπου, τροφὴν ἔχει τὸν ὠφελούμενον. Οὗτος δ' αὐτός, ὁ τοιοῦτός φημι καὶ κατὰ τὸν κόρακα τρόπον ἔχων, κἂν ὑπὸ τὸν δίκαιον δοκεῖ τυγχάνειν, ἐξελθὼν ὡς ἐν ἀγῶνι πρὸς πειρασμὸν οὐχ [ὑ]ποστρέφει. Μὴ θαυμάσῃς δὲ εἰ ὁ δίκαιος ἀποστέλλει τὸν τοιο[ῦτον] εἰς γυμνάσιον, ὅπου γε καὶ θεῖον λόγιόν φησιν· "6Τέκνον, εἰ προσέ[ρχῃ] δουλεύειν Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν"6· διόπερ̣ οὐδὲ ὑποστρέφει, ἀβέβαιός τις ὢν καὶ ζάλην ἐνεγκεῖν πειρασμῷ οὐ δεδυνημένος. ῃιι, 8. Καὶ ἀπέστειλεν τὴν περιστεράν, καὶ τὰ ἑξῆς. Προοίμιον καὶ θεμέλιός ἐστιν τῆς ἀληθοῦς πολιτείας τὸ εἰς πειρασμοὺς πρόθυμον· διὰ τοῦτο καὶ ὁ κατὰ τὴν περιστερὰν πολιτευόμενος ἀποστέλλεται εἰς τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

στάδιον. 197 Περὶ τῶν σπουδαίων τὸ λόγιον πρὸς αὐτοῖς φησιν· "6Ἐὰν κοιμηθῆτε ἀνάμεσον τῶν κλήρων, πτέρυγες περι- στερᾶς περιηργυρωμέναι, καὶ τὰ μετάφρενα αὐτῶν ἐν χλωρότητι χρυσίου."6 Πρὸς τὴν τοιαύτην ψυχὴν ὁ λόγος φησίν· "6Καλή μου, περιστερά μου."6 Διότι βεβαία τυγχάνουσα ἡ τοιαύτη ψυχή, κἂν ἐν πειρασμοῖς γένηται καὶ ἔξω τῶν ὠφελού<ν>των ἀποστάλῃ, ὑποστρέφει ἀδιά- φορος πρὸς τὸν ὠφελητήν, ὅτε μάλιστα σύνοιδεν οὔπω τέλος εἶναι πειρασμοῦ, ὥστε γῆς ἐπιλαβέσθαι. Καὶ πρέπει γὰρ μὴ εἰς τὰ ἄμετρα ἀντιτείνειν· διόπερ καὶ ὁ δίκαιος ἐκτείνει τὴν χεῖρα ἐπικουρῶν καὶ βοήθειαν ὀρέγων. Τοῦτο δὲ ἀνηγά<γο>μεν διὰ τὸ σαφές. ηιιι, 12. Καὶ ἐπίσχων ἔτι ἡμέρας ἑπτὰ ἑτέρας πάλιν ἐξαπέστειλεν αὐτήν. Οἰκείως πάλιν ἐξαποστέλλει τὴν περιστεράν, καὶ ὑπο- στρέφει ἔχουσα ἐλαίας κάρφος ἐν τῷ στόματι. Λόγῳ γὰρ ἅπαντα πράττει ὁ σπουδαῖος· φωτὸς οὖν φυλακτικὰς πράξεις ἤγαγεν πρὸς τὸν δίκαιον, σημεῖον τοῦ μὴ ἐφ' ἑαυτοῦ βάλλεσθαι, ἀλλ' ἢ πρὸς τὸν διδάσκαλον χωρεῖν, "6πρὸς ἑσπέραν"6, πλησίον λοιπὸν τοῦ τέλους. Καὶ τρίτον διαπο- σταλεῖσα οὐκέτι ὑποστρέφει· μετὰ γὰρ τοσαύτας προκοπὰς αὐτάρχης λοιπὸν γεγένηται χωρὶς διδασκάλου εἶναι. Καὶ ἡ μὲν ἀναγωγὴ οὕτως· τὰ δὲ ῥητὰ οὐκ ἄδηλα. ηιιι, 13. Καὶ ἐγένετο ἐν τῷ ἑνὶ καὶ ἑξακοσιοστῷ, καὶ τὰ ἑξῆς. Τοῦ ῥητοῦ σαφοῦς ὄντος, τὰ τῆς διανοίας περιλαλητέον. Ὁ ἄνω χωρήσας διὰ καλοκαγαθίαν ὁρᾷ τὴν κακίαν τέλος λαβοῦσαν, περιελὼν τὸ κάλυμμα τὸ ἐκ πειρασμῶν συμβαῖνον καὶ τούτων ἀνω[τέρ]ω γεγονώς. Τὸ δὲ ἑβδόμῃ καὶ εἰκάδι πεπαῦσθαι [τὴν] βεβαιό[τ]ητα σημαίνει· τετράγωνος γὰρ ὁ ἀριθμὸς καὶ κύβος. ηιιι, 15–16. Καὶ εἶπεν Κύριος ὁ Θεός· Ἔξελθε ἐκ τῆς κιβωτοῦ σὺ καὶ ἡ γυνὴ καὶ οἱ υἱοί σου καὶ αἱ γυναῖκες τῶν υἱῶν σου, καὶ τὰ ἑξῆς. Ἐπεσημηνάμεθα πρὸ τ[ού]του ὅτι ἐν ἀρχῇ τοῦ κατα- κλυσμοῦ ἁρμόνιον ἦν λεχθῆναι "6Εἴσελ[θε] εἰς τὴν κιβωτὸν σὺ καὶ οἱ υἱοί σου καὶ ἡ γυνή σου καὶ αἱ γυναῖκες τῶ[ν] υἱῶν σου μετὰ σοῦ"6, νῦν δέ "6Ἔξελθε ἐκ τῆς κιβωτοῦ σὺ καὶ ἡ γυνή σου καὶ οἱ υἱοί σου καὶ αἱ γυναῖκες τῶν 198 υἱῶν σου"6. Ἔδει γὰρ τότε μέν, ἅτε πάντων ἀνθρώπων φθειρομένων, τρόπον τινὰ μὴ ἐντρυφᾶν αὐτοὺς τοῖς γάμοις ἀκολάζοντας, νῦν οἰκείως μετὰ τῆς γυναικὸς αὐτὸς ἐξελθεῖν κẹλεύεται καὶ μετὰ τῶν ἰδίων οἱ υἱοί· ἀρχὴ γὰρ ἔμελλον τῆς ··· ··· ··· {ἔσεσθαι} γενέσθαι. Πρεπόντως δὲ αὐτὸς μὲν ἀκούει ἐξελθεῖν, περὶ τῶν ζῴων ἐξαγαγεῖν προστάτ- τεται ὡς βασιλεὺς αὐτῶν καὶ δεσπότης πρὸς Θεοῦ χειρο- τονηθείς. Παρατηρεῖται δὲ τὸ λόγιον ὅτι "6πάντα"6 ἐξῆλθε, οὐδένος βλαβέντος. ηιιι, 20. Καὶ ᾠκοδόμησεν Νῶε θυσιαστήριον. Εἰ καὶ συνέ̣πραξέν τι πρὸς σωτηρίαν Νῶε κατα- σκευάσας τὴν κιβωτὸν καὶ ἀσφαλῶς αὐτὴν ἀσφαλτώσας καὶ τὰ ἄλλα ποιήσας, ἀλλ' οὐκ ἐφ' ἑαυτῷ ἐβάλετο, ἀλλ' εὐχα- ριστῶν θυσιαστήριον οἰκοδομεῖ. Οἰκείως δὲ πρὸ τούτου ἐλέγομεν ὅτι πλείονα εἰκότως τῶν ζῴων τῇ κιβωτῷ καθαρὰ ζῷα εἰσήγαγεν· ἔμελλεν γὰρ ἐξ αὐτῶν ἱερουρ- γεῖν ***. Εἰ δὲ καὶ μήπω νόμῳ προστεταγμένον ἦν ἱερουργεῖν, ἀλλὰ δίκαιος ὤν, καθὰ καὶ Ἄβε̣λ̣ ἐξ ὧ̣ ̣ν̣ ἔκαμνεν καὶ εἶχεν ἀπήρχετο Θεῷ, δίκαιον ἡ[γούμ]ενος τῷ δεδωκότι εὐχαριστητικῶς ἀπάρχεσθαι. Τὸ δὲ "6ἀπὸ πάντων"6 εἴρησθαι αὐτὸν τῷ θυσιαστηρίῳ προσανενεγκεῖν συνετῶς ἀκούειν δεῖ. Τρία γάρ ἐστι τὰ εἰς θυσίαν ἀνα- φερόμεν[α] ··· ζῴων τῶν ἐν κτήνεσιν μόσχος, πρόβατον, ·ε̣ι̣[··]··νων δὲ τούτων, καὶ περιστερά. Ταῦτα οὖν ἐστι τὰ "6πάντα"6. Καὶ ἔστι τοῦτο ἐκ τῶν γραφῶν εὑρεῖν, ὅτι, τοῦ καθόλου λεγομένου, πρὸς τὸ [ἀκ]ολούθως αὐτὸ ἐκλαμβάνειν προσήκει· τὸ γὰρ "6Καὶ ὄψεται πᾶσα [σὰρ]ξ τὸ σωτήριον τοῦ Θεοῦ"6 οὐχ ἁπλῶς πᾶσαν ἡγεῖσθαι δεῖ, ἀλλὰ τὴν [πεφ]υκυῖαν, ἥτις ἐστὶν ἡ ἀνθρώπου φύσις. Καθαρὰ δὲ τὰ κτήνη τὰ [π]ροειρημένα διὰ τ̣ὰ ἐν τῷ νόμῳ εἰρημένα ***



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

209 χιι, 1–3. Καὶ εἶπεν Κύριος τῷ Ἀβράμ· Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου καὶ ἐκ τ[ο]ῦ οἴκου τοῦ πατρός σου εἰς τὴν γῆ[ν] ἣν ἐάν σοι δείξω· καὶ ποιήσω σε εἰς ἔθνος μέγα, καὶ εὐλογήσω σε, καὶ μεγαλυνῶ τὸ ὄνομά σου καὶ ἔσῃ εὐλογητός, καὶ εὐλογήσω τọὺ̣ς εὐλογοῦντάς σε, καὶ τοὺς καταρωμένους σε καταράσομαι· καὶ ἐνευλογη- θήσονται ἐν σο[ὶ πᾶ]σαι αἱ φυλαὶ τῆς γῆς. Οὐκ ἀποκληρωτικῶς τῷ Ἀβραὰμ ὁ Θεὸς κελεύει ἀποστῆναι τῆς γῆς καὶ τῆς συγγενείας ἑαυτοῦ, ἀλλ' ἐνιδὼν ἐν αὐτῷ ἄξιόν <τι> τοῦ ὑπὸ κηδεμονίαν αὐτοῦ λοιπὸν τετάχθαι, ὅπερ ἦν ἡ εἰς αὐτὸν πίστις, καὶ οὐχ ἥρμοζεν τὸν ἔχοντα πίστιν εἰς Θεὸν παραμενεῖν τοῖς φαύλοις· εἰδωλολάτρης γὰρ ἦν ὁ τούτου πατήρ. Πολλάκις γὰρ ἡ συνουσία τῶν κακῶν βλάπτει τοὺς σπουδαίους, καὶ μάλιστα ὅταν νεοπαγεῖς ὦσιν. Διά τοι τοῦτο καὶ ὁ Σωτὴρ κηρύττει· "6Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ καὶ τοὺς ἀδελφοὺς καὶ τὰς ἀδελφάς, ἔτι δὲ καὶ τὴν γυναῖκα καὶ τέκνα, οὐ δύναται εἶναί μου μαθητής"6. Οὐ μῖσος δὲ τῶν οἰκείων ἐνεργαζόμενος τοῦτ̣ο̣ ἔφη ὁ Κύριος, ἀλλ' εἰ ἐμπόδιον τούτων τι πρὸς ἀρετὴν γίνοιτο, [μι]σητέον αὐτὸ δι' ἀρετήν, ὅπερ ποιήσαντες οἱ μαθηταὶ ἔλεγον· "6Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήκαμέν σοι"6. Τοῦτ' οὖν καὶ νῦν τῷ πατριάρχῃ προστάττεται, <τοῦ Θεοῦ> ἐπαγγελομένου δείξειν αὐτῷ γῆν, ἵν' ἐκεῖ διάγῃ, ποιήσειν τε αὐτὸν εἰς ἔθνος μέγα, εὐλογήσει<ν> τε καὶ μεγαλυνεῖν τὸ ὄνομα αὐτοῦ καὶ εὐλογητὸν αὐτὸν ἀπο- δείξειν, ὡς τοὺς εὐλογοῦντας αὐτὸν τυγχάνειν παρ' αὐτοῦ εὐλογίας, τοὺς δὲ καταρωμένους κατάραν ὑφίστασθαι πα[ρ' αὐ]τοῦ. Πρὸς δὲ τούτοις ἐν ὑποσχέσει αὐτῷ κατε- παγγέλλεται ἐνε[υλο]γηθῆναι ἐν αὐτῷ πᾶσας τὰς φυλὰς τῆς γῆς, ἅπερ ἅπαντα οὐκ ἀνθρ[ώ]πινα τυγχάνει, ὡς ἐκ τῆς ἀναγωγῆς εἰσόμεθα [τὰ] ἐντεῦθεν ἄν̣ω̣θε̣[ν] ἀρχόμενοι. Παντὸς ἁμαρτωλοῦ διάβολος πατή[ρ ἐσ]τιν κατὰ τὸ ε̣ἰ̣ρη- μένον· "6Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστίν"6. 210 Ὡς γὰρ ὁ π̣ο̣ιῶν τὸ θέλη[μα τοῦ] Θεοῦ γέννημα αὐτοῦ γίνεται, –"6Π̣[ᾶς]"6 γάρ φησιν "6ὁ ποιῶν τὴν δικαι- [οσύν]ην ἐκ τοῦ Θεοῦ γεγέννηται"6–, οὕτως "6ὁ τὴν ἁμαρτίαν ποιῶν ἐκ τοῦ δ̣ιαβό̣λου ἐστίν"6 καὶ πατρὸς αὐτῆς. Ἔχει δὲ καὶ συγγένειαν τὴν ἐκ τούτο̣υ̣ [τοῦ] πατρὸς σύστασιν. Ταύτην οὖν ὑπεξελθεῖν αὐτῷ παρακελ̣ε̣ύε̣τ̣αι Θεὸς γῆν αὐτὴν καλ[ῶν, –ο]ὐδὲν γὰρ οὐράνιον ἀλλὰ πάντα γήϊ̈ν̣α ἐν τῷ ἀντικειμένῳ διαβόλῳ, –ἵν' οὕτω ἀποθέμενος τὴν εἰκόνα τοῦ χοϊκοῦ ἀναλάβῃ τὴν εἰκόν̣α̣ τοῦ ἐπουρανίου. Τοιοῦτον δ' ἐν ψαλμῷ φέρεται πρὸς τὴν ἀπὸ τῶν ἐθνῶν ἐκκλησίαν λεγόμενον· "6Ἄκουσον, θύγατερ, καὶ ἰδὲ καὶ κλῖνον τὸ οὖς σου καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου, ὅτι ἐπεθύμησεν ὁ βασιλεὺς τοῦ κάλλους σου, καὶ αὐτός ἐστιν ὁ Κύριός σου"6. Ἤδη γὰρ αὐτὴν ὑπαρξαμένην τοῦ κινεῖσθαι ἀπὸ τῆς εἰδωλολατρείας προφητικῷ ὀφθαλμῷ διεγείρων ὁ λόγος θυγατέρα καλεῖ προτρεπόμενος αὐτὴν ἀκοῦσαί τε καὶ ἰδεῖν, τοῦ τοῦ Θεοῦ λόγου ἅμα καὶ τὸ ἀκούεσθαι καὶ τὸ ὁρᾶσθαι ἔχοντος καρδίᾳ καθαρᾷ, πρὸς δὲ τοῦτο καὶ κλῖναι τὸ οὖς, ἵν' ἐκ τούτων ἐπιλάθῃ "6τοῦ λαοῦ σου"6 οἰκείου "6καὶ πατρός σου"6 ἀποταξαμένη αὐτῷ, προσθεὶς καὶ τὴν αἰτίαν, ἥνπερ καὶ ἐν τῷ πατριάρχῃ ἐφάσκομεν ἐνυπάρχειν, κάλλος ψυχῆς· οὐδὲν γὰρ οὕτως καλλωπίζει τὴν ψυχὴν ὡς ἀρετὴ́. Δεῖ οὖν ἐπιλαθέσθαι πάντων τῶν γηΐνων ἃ διαιρεῖται εἰς τὰ προειρημένα. Φησὶν δὲ τῷ σπουδαίῳ ἥκειν εἰς γῆν ἣν ἐὰν αὐτῷ δείξῃ Θεός, οὐχ ὁρατό̣ν, εἰ καὶ συμβόλου χάριν καὶ τοῦτο παρηκολούθησεν, ἀλλ' ἀόρατον· "6ἐλπὶς γὰρ βλεπομένη οὐκ ἔστιν ἐλπίς"6. Τί δὲ καὶ τὸ ποιήσειν [αὐ]τὸν "6εἰς ἔθνος μέγα"6 μετὰ τὸ κατὰ τὸ ῥητὸν ἐκλαβεῖν; Δῆλον γὰρ [ὅτ]ι καὶ καθ' ἱστορίαν τοῦτο ὑπῆρξεν. Μέγα δέ ἐστιν τῷ ὄντ̣ι γινόμενος ἔθνος, ὅταν ἐξ ἀρετῶν κοσμῆται. Φανερὸν δὲ ὅτι, πλειον·[··]· προκοπῶν ἐν ψυχῇ γινομένων, μέγεθος οὐκ ἀνθρώπινο[ν σ]υνίσταται, ἀλλ' οὐράνιον, ὅπερ εὐλογία ἐστίν, οὐ̣ ψιλῶς προφερομένη, ἀλλὰ πραγματικῶς, 211 μεγάλου τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὀνόματοσκαὶ διαβοήτου γινομένου ἐκ τῆς συνούσης ἀρετῆς καὶ τοῦ κόσμου τοῦ ἑπομένου ἐκ τῆς εὐλογίας τῆς πνευματικῆς· αἱρετώτερον γὰρ ὄνομακαλὸν ἢ πλοῦτος *** καὶ "6φήμη ἀγαθὴ πιαίνει ὀστᾶ"6. Οὐκ ἀρκεῖται δὲ τῷ εὐλογῆσαι, ἀλλ' ἔτι ἐπάγει λέγων· "6Καὶ ἔσῃ εὐλογητός"6, ἄξιος εὐλογίας γινόμενος διὰ τὸ μέγεθος καὶ τὴν ἐπὶ τελείαν ἀρετὴν προκοπήν, εὐλογεῖ δὲ καὶ τοὺς εὐλογοῦντας, οὐ ψιλῇ προφορᾷ, ἀλλὰ τῇ αἱρέσει καὶ ἐκλογῇ ὧν αὐτὸς ἐκλέγεται. Ὡσαύτως δὲ καὶ κατάρᾳ ὑποπεσοῦνται οἱ ἐναντίως αὐτῷ διακείμενοι. Καὶ φαί- νεται τοῦτο τῷ ἀναγνόντι τὰς ἱστορίας, ἐν αἷς δηλοῦται ὡς ὅσοι μὲν αὐτὸν ἀσμένως ὑπεδέξαντο εὐλογήθησαν, ὅσοι δὲ οὐ δεόντως αὐτῷ ἐχρήσαντο ὑπὸ κατάραν γεγόνασιν ὡς ὁ Ἀβιμέλεχ. Δύνανται δὲ καὶ περὶ ἀοράτων δυνάμεων ταῦτα λέγεσθαι, ἁγίων μὲν ἀγγέλων εὐλογούντων τὸν σπουδαῖον καὶ εὐλογουμένων, διαβόλου δὲ καὶ δαιμόνων καταρωμένων αὐτὸν καὶ ὑπὸ κατάραν πιπτόντων. Ἔτι δὲ ἕτερον ὑπάρξει κατόρθωμα τὸ ἐνευλογηθῆναι ἐν αὐτῷ πάσας τὰς φυλὰς τῆς γῆς, ἀπαλλαττομένας τοῦ γῆς εἶναι φυλὰς διὰ τὴν πρὸς αὐτὸν μίμησιν κατὰ ἁγιότητα, μηκέτι τὰ ἐπίγεια αὐτῶν φρονουσῶν. Ἔκκειται δὲ εἰς τοῦτο ὁ σπουδαῖος εἰς τὸ ἐνευλογηθῆναι ἐν αὐτῷ διὰ μιμήσεως πάσας τὰς φυλὰς τῆς γῆς, κἂν μὴ πᾶσαι προ- σέλθωσιν τῇ προαιρέσει ἑαυτὰς ἀπὸ τούτου χωρίζουσαι. χιι, 4–5. Καὶ ἐπορεύθη Ἀβράμ, καθάπερ ἐλάλησεν αὐτῷ ὁ Κύριος, καὶ ᾤχετο μετ' αὐτοῦ Λώτ. Ἀβρὰμ δὲ ἦν πέντε καὶ ἑβδομήκοντα ἐτῶν, ὅτε ἐξῆλθεν ἐκ Χαρράν. Καὶ ἔλαβεν Ἀβρὰμ τὴν Σάραν γυναῖκα αὐτοῦ καὶ τὸν Λὼτ υἱὸν τοῦ ἀδελφοῦ αὐτοῦ καὶ πάντα τὰ ὑπάρχοντα αὐτῶν, ὅσα ἐκτήσαντο, καὶ πᾶσαν ψυχήν, ἣν ἐκτήσαντο ἐκ Χαρράν, καὶ ἐξῆλθαν πορευθῆναι εἰς γῆν Χαναὰν καὶ ἦλθαν εἰς γῆν Χαναάν."6 212 Μεγάλη μαρτυρία τῷ πατριάρχῃ αὕτη, ὅτι οὕτω πεπόρευται καθάπερ ἐλάλησεν αὐτῷ ὁ Θεός, ἀποδοχῆς δὲ καὶ Λὼτ συνακολουθήσας τῷ Ἀβράμ. Μαρτύρεται δὲ τὸ λόγιον καὶ τὸν χρόνον καθ' ὃν ἐξελήλυθεν καὶ ὡς ἅπαντα ὅσα ἐκτήσαντο ἐξήγαγον ἐκ Χαρρὰν καὶ πᾶσαν ψυχὴν ἣν ἐκτήσαντο καὶ οὕτως ἦλθον εἰς γῆν Χαναάν. Καὶ τοῦτο μὲν ἂν εἴη ἔχ[ο]ν [κα]ὶ καθ' αὐτὸ μεγίστην ἀποδοχήν, ὅτι οὐκ ἀναμείνας, οὐ καμφθεὶς οἰκειότητι συγγενείας, οὐ φίλων, οὐ τῶν ἄλλων, ὅσα ἀγωγὰ εἰς τὸ μὴ ἀποστῆναι τῆς πατρίδος ὑπῆρχεν, ὑπερεῖδεν ἅπαντα τῷ θείῳ κατα- πειθὴς γινόμενος προστάγματι. Προσθήκη, ὡς προλα- βόντες εἰρήκαμεν, τὸ καὶ οὕτως πορευθῆναι καθὼς ἐλάλησεν αὐτῷ ὁ Θεός. Συμβαίνει γὰρ πολλάκις ποιῆσαι μὲν τὸ προσταττόμενον, μὴ οὕτω δὲ αὐτὸ ἀνῦσαι ὡς ὁ προστάξας ὑπέθετο. Ἐνταῦθα οὕτως γέγονεν ὡς ὁ Θεὸς ἐκέλευσεν, καὶ τῆς αἰτίας τοῦ πραττομένου θείως γινομένης καὶ τοῦ ἀποτελέσματος κατὰ τὸν σκοπὸν τοῦ κελεύσαντος. Οὐχ οὕτως οἱ ἐλεημοσύνην ποιοῦντες πρὸς τὸ θεαθῆναι ὑπ' ἀνθρώπων ἐνεργοῦσιν, τὴν μὲν πρᾶξιν ἐπιτελοῦντες, τῷ δὲ τρόπῳ τοῦ ἐνεργουμένου διασφαλλόμενοι. Ὁ μακά- ριος δὲ Παῦλος οὐχ οὕτως, ἀλλὰ λέγων "6Μιμηταί μου γίνεσθε"6 οὐχ ἁπλῶς τοῦτο προσέταττεν, ἀλλ' ἑξῆς ἐπέ- φερεν "6καθὼς κἀγὼ τοῦ Χριστοῦ"6, οὐ τῷ δοκεῖν ἀλλ' ἀλη- θείᾳ. Πάλιν δ' ὁ Σωτὴρ λέγων "6Μάθετε ἀπ' ἐμοῦ ὅτι πραΰς εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ"6 ἐνάγει τοὺς ἀκούοντας κατανοεῖν εἰς τὸ μαθεῖν καὶ τὸν τρόπον καὶ τὴν ἐνέργειαν καὶ τὰς αἰτίας τῆς πραότητος καὶ ταπεινοφροσύνης. Ἐπάγεται δὲ ὁ πατριάρχης καὶ τὴν κτῆσιν οὐχ ὡς δεδουλωμένος αὐτῇ ὅ γε μὴ τῷ μονογενεῖ υἱῷ ἑαυτοῦ δουλωθείς, ἀλλ' ἑλὼν αὐτὰ πρὸς τὰς χρείας. Καὶ ταῦτα μὲν τῆς ἱστορίας ἕνεκα λεχθέντα ἱκανὰ πρὸς ὠφελίαν, οἷς προσληπτέον καὶ τὸ ἐξαγαγεῖν ἐκ Χαρρὰν 213 καὶ τὰς ψυχὰς ἃς ἐκτήσαντο δηλοῦν ὅτι τῆς οἰκετείας οὓς πρὸς τ[ὸ]ν ἑαυτοῦ τρόπον ἐκτήσατο συνεπηγάγετο· οὐδεὶς γάρ, κατ[ὰ] τὸ εἰρημένον, βραδὺς ἐν οἰκίᾳ σοφοῦ. Ἔχει δὲ καὶ ὁ τῆς ἀναγωγῆς λόγος πολλὴν τὴν ὠφελίαν τῷ ἅπαντα ἐξομαλῖσαι δυναμένῳ. Χαρρὰν μὲν οὖν ἑρμη- νεύεται "3τρῶγλαι"3, ὅπερ σύμβολόν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐστιν τῶν αἰσθήσεων· οἱ τόποι γὰρ τῶν αἰσθήσεων ὡσανεὶ τρῶγλαί εἰσιν. Βούλεται οὖν ὁ Θεὸς ἀπαναστῆναι αὐτὸν ἀπὸ τῶν αἰσθητῶν. Καὶ τὴν ἐν τούτοις κτῆσιν συνετῶς γεγενημένην ὁ ἅγιος συνεπάγεται χρησιμεύουσαν αὐτῷ εἰς τὴν εἰστὰ νοητὰ τελείωσιν, ἢ ὁ τέλειος πρὸς τοῖς μεγάλοις οὐκ ἔχει καὶ τὸν στολισμὸν κεκοσμημένον μειδιασμόν τε ὀδόντων καὶ βῆμα ποδός; Ἐπάγεται δὲ καὶ τὴν γυναῖκα, ἥτις ἑρμηνεύε- ται "3ἀρχή μου"3 προσφόρως· ὁ σοφὸς γὰρ μετὰ τῆς σοφίας ἐστὶν ἤτοι ἀρχόμενος ὑπ' αὐτῆς ἢ ἐξ αὐτῆς ἔχων τὸ ἄρχειν, καὶ σύζυγον αὐτὴν ἔχων κατὰ τὸ σαλομώντιον· "6Ἤγαγον αὐτὴν εἰς συμβίωσιν ἐμαυτῷ"6, τὴν σοφίαν δηλονότι, "6καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς"6· αὕτη δὲ καὶ τίκτει ἀνδρὶ φρόνησιν. Ἐπάγεται δὲ καὶ τὸν Λὼτ τὸν ἀδελφιδοῦν, περὶ οὗ οὕτως ἂν διαλάβοιμεν· ὁ Ἀβρὰμ υἱὸς Θεοῦ διὰ δικαιοσύνην ὑπάρχει, –"6Πᾶς"6 γὰρ "6ὁ ποιῶν δικαιοσύνην ἐκ τοῦ Θεοῦ γεγέννηται"6, –καὶ διὰ τοῦτο τῶν θείων καὶ ἀοράτων καὶ ὑπερφυῶν ἐστι μέτοχος μυστηρίων, ἔχει δ' ἀδελφὸν ὁ τοιοῦτος τὸν τῶν αἰσθητῶν σοφῶς μεταποιούμενον· συμβάλλεται γὰρ τῷ τελείῳ τὸ τοιοῦτον· τούτου δ' υἱὸς ὁ Λὼτ "3ἀπόκλισις λελυτρωμένος"3 ἑρμηνευόμενος· ᾗ γὰρ οὐκ ἔστιν υἱὸς τοῦ σοφοῦ ἀλλὰ τοῦ περὶ τὰ αἰσθητὰ ἔχοντος, ἀπόκλισίς ἐστιν ὀλίγον σαλευόμενος ἀπὸ τῶν αἰσθητῶν, ᾗ δὲ ὑπὸ τὸν ἅγιόν ἐστιν καὶ τούτῳ ἕπεται, λελυτρωμένος ὑπάρχει ἀρχὴν ταύτην τῆς τῶν θείων καὶ ὑπερφυῶν νοήσεως δεχόμενος. Τοῦτον δὴ καὶ ἄνθρωπον καὶ τρόπον ἐπήγετο Ἀβρὰμ σοφῶς δεχόμενος καὶ τὰ αἰσθητά· καλὸν γὰρ καὶ τὸ ἀπόκλισιν εἶναι ῥέποντα πρὸς τὰ καλὰ καὶ σαλευόμενον ἀπὸ τῶν ἐναντίων· οὕτω γὰρ καὶ εὐχὴ ἀναπέμπεται λέγοντος τοῦ ψαλμῳδοῦ· "6Σαλευθήτω ἀπὸ προσώπου 214 αὐτοῦ πᾶσα ἡ γῆ"6· τούτου γὰρ γινομένου οὐκέτι ἡ γῆ γῆ μένει, τοῦ προσώπου καταλάμψαντος τοὺς ἐπὶ γῆς πρὸς τὸ γενέσθαι οὐρανίους. Τῆς αὐτῆς διανοίας ἐστὶν καὶ τὸ "6Ὁ καθήμενος ἐπὶ τῶν χερουβείμ, σαλευθήτω ἡ γῆ"6, ἵνα μεταβολὴ περὶ αὐτοῦ γένηται. Οὕτω δὴ καὶ οἱ σὺν αὐτῷ τῷ πατριάρχῃ ἐξῆλθον μεταβαλόντες ἐπὶ τὸ βέλτιον· ἦλθον γὰρ εἰς Χαναάν, ὅπερ ἑρμηνεύεται "3ἤτοι- μασμένη"3· πρέπει γὰρ τῷ νῦν εἰσαγομένῳ ἀρξαμένῳ καταλιπεῖν τὰ αἰσθητὰ εὐτρεπισθῆναι πρὸς παραδοχὴν τω῀ν θειοτέρων. χιι, 6. Καὶ διώδευσεν Ἀβρὰμ τὴν γῆν εἰς τὸ μῆκος αὐτῆς ἕως τοῦ τόπου Συχὲμ ἐπὶ τὴν δρῦν τὴν ὑψηλήν· οἱ δὲ Χαναναῖοι τότε κατῴκουν τὴν γῆν"6 Εἰσάγει μὲν ὁ λόγος ὅτι νεωστὶ εἰς τὴν γῆν ταύτην μεταστὰς ἀναγκαίως αὐτῆς τὴν εἰδέαν κατανοεῖ διοδεύων τὸ μῆκος, εἰκὸς δ' ὅτι καὶ τὸ πλάτος, τὴν περιοχὴν αὐτῆς καταμανθάνων· σημειοῦται γὰρ τὸ λόγιον "6ἕως τοῦ τόπου Συχέμ"6, καὶ ὅτι δὲ οἱ Χαναναῖοι ἐπὶ τὴν γῆν κατῴκουν. Ἀναγκαίως δὲ ἀπὸ τούτου χωρητέον ἐπὶ τὴν ἀναγωγήν. Ὁ ἅγιος μεταστὰς ἀπὸ τῶν αἰσθητῶν, ἃ καὶ αὐτὰ καλῶς μετῄει, ἐπὶ προκοπὴν θειοτέραν, καὶ μετελθὼν κατενόει τὸ μῆκος, ὅπερ ἔμφασιν παρέχει ὡς τὸ ὕψος καὶ τῶν θείων κατενόει. Τοῦτ' αὐτὸ καὶ ὁ μακάριος Παῦλος *** τί πλάτος καὶ μῆκος καὶ βάθος γνῶναι τε τὴν ὑπερβάλ- λουσαν χάριν τοῦ Θεοῦ"6. Ταῦτα οὖν ἅπαντα κατενόει ἀπὸ τοῦ μείζονος καὶ περὶ τῶν ἄλλων μαρτυρούμενος. Ἔρχεται δὲ "6ἕως τοῦ τόπου Συχέμ"6, ἔνθα ἡ πηγὴ ἐτύγχανεν, ἐφ' ἣν ὁ Ἰησοῦς ἐκαθέσθη κοπιάσας διὰ τὸ ὁμοούσιον τῇ ἡμετέρᾳ σαρκὶ σῶμα ἔχειν, ὅπερ πιθανῶς ὑποβάλλοι ὅτι ἀπὸ τῆς μείζονος καὶ περὶ θεολογίαν ἀσχολίας, ὃ δηλοῦται διὰ τοῦ μήκους, ἦλθεν καὶ εἰς τὸν περὶ τῆς ἐνανθρωπήσεως λόγον κατὰ τὸ ὑπὸ Ἰησοῦ 215 εἰρημένον· "6Ἀβρ<α>ὰμ ἐπεθύμησεν ἰδεῖν τὴν ἡμέραν [τ]ὴν ἐμήν, καὶ εἶδεν καὶ ἐχάρη"6. Ἔρχεται δὲ εἰς Συχὲμ ἑρμηνευομένην ὠμίασιν διὰ πράξεων ἐναρετῶν ἁπάντων τούτων ἀξιούμενος· ὁ ὦμος γάρ, ἀφ' οὗ ἡ ὠμίασις, σύμβολον ὑπάρχει ἔργου, καθὸ εἴρηται· "6Δὸς καρδίαν σου εἰς ὤμους σου"6, καὶ περὶ ἑνὸς τῶν πατριαρχῶν· "6Ὑπέθηκεν τὸν ὦμον αὐτοῦ εἰς τὸ πονεῖν"6. Οὕτω γοῦν λέγεται καὶ περὶ τοῦ ἀνθρώπου, οὗ ἀνέλαβεν ὁ Σωτήρ· "6Ἐγενήθη ἡ ἀρχὴ αὐτοῦ ἐπὶ τοῦ ὤμου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτοῦ"6· ἐργασά- μενος ἔσχεν τὴν ἀρχήν, ἔργον δὲ οὐ τὸ ἀπὸ κακίας εἰς ἀρετήν– "6Ἁμαρτίαν"6 γὰρ "6οὐκ ἐποίησεν"6–, ἀλλὰ τὴν φυλακὴν τῆς τεḷẹịότητος· οὕτω καὶ τὰ κατὰ τὸν ἄνθρωπον βασιλεὺς ἦν, τοῦ Θεοῦ Λόγου τὴν ἀΐδιον καὶ σύμφυτον καὶ οὐσιώδη ἔχοντος βασιλείαν, οὐκ <ἐξ> ἔργου ἢ πόνου. Ἔρχεται δὲ καὶ "6ἐπὶ τὴν δρῦν τὴν ὑψηλήν"6, καὶ ἐπεὶ πολλὰ τῶν δένδρων καὶ φυτῶν νοητά τινα δηλοῖ, ὡς τὰ ἐν τῷ Ἠσαΐᾳ λέγοντι· "6Ἐν χαρᾷ"6 φησιν "6ἐξελεύσεσθε καὶ ἐν εὐφροσύνῃ διδαχθήσεσθε· τὰ γὰρ ὄρη καὶ οἱ βουνοὶ ἐξολου̣̃νται προσδεχόμενοι ὑμᾶς ἐν χαρᾷ καὶ πάντα τὰ ξύλα τοῦ ἀγροῦ ἐπικροτήσει τοῖς κλάδοις"6, ἅπερ οὐδὲν αἰσθητὸν σημαίνει, ἀλλὰ τὴν ἔξοδον τῶν ἀστείων, οἳ οὐ μετὰ κλαυθμοῦ ἀπέρχονται, ἀλλὰ μετὰ χαρᾶς. Φαῦλος οὖν τίς φησιν· "6Εἰ οὕτω πικρὸς ὁ θάνατος"6, περὶ δὲ τοῦ Ἀβρὰμ λέγεται ὅτι ἐκοιμήθη καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ, "6τραφεὶς ἐν γήρει καλῷ"6. Τῶν δικαίων οὖν ἀναχωρούντων τοῦ βίου, "6τὰ ὄρη καὶ οἱ βουνοί"6, <οἱ> ἄγγελοι καὶ οἱ δίκαιοι, προσδέξονται αὐτοὺς ἐν χαρᾷ, συγχαίροντα διὰ τὸ ἓν πρόβατον. Σὺν τούτοις δὲ "6καὶ πάντα τὰ τοῦ ἀγροῦ ξύλα ἐπικροτήσει"6 χαίροντα, ἅπερ ἐστὶν τὰ ἐν τῷ παραδείσῳ λογικά. Εἶτα λέγει· "6Ἀντὶ στοιβῆς ἀναβήσεται κυπάρισσος"6, ἀντὶ ἀκάρπου καὶ ἀκανθώδους χρήσιμον καὶ εὐῶδες–τοῦτο γὰρ ὁ μετανοῶν γίνεται–, "6καὶ ἀντὶ κονύζης ἀναβήσεται 216 μυρσίνη"6, τῆς δυσωδίας εἰς εὐωδίαν μεταβαλούσης. Ἐπεὶ οὖν ἔχομεν δένδρα νοητῶς λαμβανόμενα, ἀναγκαῖον καὶ περὶ τῆς δρυὸς θεωρῆσαι, εἰς ἣν ὁ Ἀβρὰμ ἔρχεται, ὑφ' ἣν καθεζόμενος καὶ ὀπτασίας ἠξιώθη, ὅτε καὶ τὴν κατὰ τὸν Ἰσαὰκ ἐπαγγελίαν ἐδέξατο. Δι' ἔργων οὖν καὶ πόνων ἐπὶ τὰ ὕψη προκόπτων πρόεισιν μεταλαμβάνων εὐωδίας καὶ θεωρίας τῶν ὑψηλῶν καὶ θείων νοημάτων. Σκοπήσεις δὲ καὶ τὸ παρασημανθέν, ὅτι "6οἱ δὲ Χαναναῖοι ἔτι κατῴκουν τὴν γῆν"6, μήποτε δυνάμεθα νοῆσαι ὅτι τῷ προκόπτοντι οὐκ εὐθὺς ἅπαντα ἐλευθεροῦται, ἀλλ' ἔχει τινὰ καὶ τῆς παλαιᾶς συνηθείας–τοῦτο γὰρ τὸ "6ἔτι"6 δηλοῖ–, ἅπερ ἂν νοήσειας περὶ τῶν ἀκολούθων τῷ ἁγίῳ μήπω τελείων τυγχανόντων. χιι, 7. Καὶ ὤφθη Κύριος τῷ Ἀβρὰμ καὶ εἶπεν αὐτῷ· Τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. Καὶ ᾠκοδόμησεν ἐκεῖ Ἀβρὰμ θυσιαστήριον τῷ Κυρίῳ τῷ ὀφθέντι αὐτῷ. Ἀκολούθως τῷ πειθαρχήσαντι τοῖς κελευομένοις ὑφ' ἑαυτοῦ ὁ Θεὸς ἐπιφαίνεται, ἐλπίδι ἀγαθῇ τῶν προσδο- κωμένων αὐτὸν βεβαιότερον ποιῶν· ἐπαγγέλλεται γὰρ καὶ τῷ σπέρματι αὐτῷ δώσειν τὴν γῆν. Ἀκολούθως δὲ καὶ ὁ ἅγιος, εὐχάριστος ὤν, θυσιαστήριον οἰκοδομεῖ τῷ τὴν ἐπαγγελίαν προτείναντι. Καὶ ταῦτα ὡς μεταφράσεως τρόπῳ εἰρήσθω. Ἄξιον δὲ θεωρῆσαι εἰς τὸ "6Ὤφθη ὁ Θεὸς τῷ Ἀβράμ"6, τοῦ γὰρ Θεοῦ ἀοράτου τυγχάνοντος, καθὰ τὰ ἐν εὐαγγελίῳ ἀποδείκνυται, λεγομένου "6Θεὸν οὐδεὶς ἑώρακεν πώποτε"6, καὶ τοῦ "6Οὐχ ὅτι τὸν Πατέρα ἑώρακέν τις"6, ἀλλὰ καὶ Παύλου λέγοντος περὶ Θεοῦ· "6Ὃν εἶδεν οὐδεὶς ἀνθρώπων οὐδὲ ἰδεῖν δύναται"6, ὅπερ σημαίνει τὸ φύσει ἀόρατον. Ἔνια γὰρ τῶν ὁρατῶν οὐχ ὁρῶμεν, ἀλλὰ ἰδεῖν δυνάμεθα, κἂν μὴ ἀκολουθήσῃ δὲ τοῦτο· τῆς τῶν ὁρωμένων φύσεώς ἐστιν ἐκεῖνα· τὸ δὲ ἀόρατον οὐ διὰ τὸ μὴ ὁρᾶσθαι τοιοῦτόν ἐστιν, ἀλλὰ διὰ τὸ ἀόρατον οὐχ ὁρᾶται. Δῆλον οὖν ὅτι τὸ ὁρᾶν δίττον, τὸ μὲν κατ' αἴσθησιν, τὸ δὲ κατὰ διάνοιαν· καὶ τὸ μὲν τῶν ὁρατῶν ἀντιλημπτικόν, τὸ δὲ τῶν ἀοράτων, 217 ὅπερ ἐστὶν νοῦς καθαρός, καθ' ὃν ὤφθη [ὁ] Θεὸς τῷ Ἀβράμ. Ἔχει δὲ καὶ ἑτέραν παρατήρησιν ὁ λόγος. Οὐ γὰρ εἴρ[η]ται "3εἶδεν ὁ Ἀβρὰμ τὸ<ν> Θεόν"3, ἀλλ' "6ὤφθη ὁ Θεὸς τῷ Ἀβράμ"6. Ὅσον γὰρ ἧμεν πρὸς τὴν γενητὴνφύσιν καὶ τὸ ταύτης ἀσθενές, οὐκ ἔστιν ἐφικτὸν τὸ πρᾶγμα· ὅσον δὲ πρὸς τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, δυνατὸν γίνεται, αὐτοῦ δι' ἀγαθότητος ἐπιδιδόντος ἑαυτὸν εἰς τὴν ἑαυτοῦ κατανόησιν. Εἰ δέ ποτε ἀντὶ τοῦ "6ὤφθη"6 τὸ "6εἶδεν"6 κεῖται ὡς ἐν τῷ Ἠσαΐᾳ· "6Εἶδον τὸν Κύριον καθήμενον"6 καὶ τὰ ἑξῆς, παιδευώμεθα ἐκ τοῦ πρὸς τὸν Ἀβρὰμ γεγενη- μένου ὅτι, Θεοῦ ἐπιδιδόντος ἑαυτόν, τοῦτο γίνεται. Ὅτι δὲ τὸ ὁρᾶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τάττεταί ποτε καὶ ἐπὶ τοῦ νοεῖν, ὁ Παῦλος Ῥωμαίοις γράφων λέγει· "6Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασιν νοούμενα καθόραται"6. Καὶ Μωσῆς δὲ ἀξιῶν τὸν Θεόν, περὶ οὗ ἔννοιαν εἶχεν, ὅτι ἀόρατός ἐστιν, ἔλεγεν· "6Ἐμφάνισόν μοι σεαυτόν· γνωστῶς ἴδω σε"6, καὶ πάλιν· "6Ἐμφανίζεται γὰρ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ"6· εἰ γὰρ φύσεως ὁρατῆς ἐτύγχανεν τὸ ὁρώμενον καὶ τοῖς ἀπίστοις δυνατὸν ἦν φαίνεσθαι, νῦν δ' εἴρηται· "6Ἐμφανίζεται τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ"6 καταυγασθεῖσιν ὑπὸ θείου φωτὸς τὴν διάνοιαν. Ἀνάπαλιν δὲ ἔχει τὸ πρᾶγμα ἐπὶ τῶν αἰσθητῶν· πρῶτον μὲν γὰρ αὐτὰ ὁρῶμεν, εἶτα, τοῦ ἐκ τῆς αἰσθήσεως τύπου ἐν διανοίᾳ γινομένου, νοοῦμεν αὐτά· τὰ δὲ νοητὰ ἑαυτὰ εἰς τὸ γινώ- σκεσθαι παρέχει, τοῦ νοῦ οὐ προκαταρχομένου εἰ <μὴ> μόνον κατὰ τὸ εὐτρεπίζειν ἑαυτὸν εἰς κατανόησιν ἀλλ' ἐπα- κολουθοῦντος τῷ ὀφθέντι. Γίνεται δέ ποτε καὶ ἐκ τῆς κατανοήσεως τῆς δημιουργίας ἡ περὶ Θεοῦ νόησις κατὰ τὸ "6Ἐκ γὰρ καλλονῆς τῶν κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται"6 καὶ καθὸ ὁ Θεὸς ὤφθη τῷ Ἀβράμ. Τὸ γὰρ "6Θεὸς"6 ὄνομα ὡς ἐπίπαν συνζεύγνυται τῇ δημιουργίᾳ ὡς ἐπὶ τοῦ "6Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν"6, καὶ· "6Εἶπεν ὁ Θεός· Γενηθήτω φῶς"6, τῆς τοῦ "6κυρίου"6 προσηγορίας τότε λεγομένης ὅτε ὁ νόμος παρείχετο. Οὕτω γοῦν θεασάμενος διὰ τῆς παν- αρμονίου τάξεως τοῦ παντὸς τὸν Θεὸν ἀπέστη τῆς πολυθέου 218 πλάνης, ἣν παρὰ τοῦ πατρὸς μεμαθήκει, καὶ [ἀ]κολούθως εἰς κατανόησιν ὁ Θεὸς ἑαυτὸν παρέχει τῷ ἁγίῳ μετὰ τὴν ἐξ ἀκοῆς παίδευσιν, ἥτις ἐγίνετο ἐν τῷ "6Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου"6. Ἀκοὴν δὲ ψυχῆς ἡγητέον τὴν πειθήνιον συγκατάθεσιν τῶν ὑποβαλλομένων, ὀφθαλμὸν τὴν μετὰ τὴν προκοπὴν ἐπιβολὴν καὶ κατάλημψιν βεβαιοτάτην τῶν παιδευμάτων. Ἰστέον γὰρ ὅτι τὰ αὐτὰ διαφόρως ἔστιν γνῶναι, εἰσαγωγικώτερον, προκόπτοντα, οἰκείως δὲ προκόψαντι ἐκ τῆς τοῦ Θεοῦ κατανοήσεως. Κατεπαγγέλλεται καὶ τῷ σπέρματι τὴν γῆν δώσειν, γῆν ἐκείνην περὶ ἧς εἶπεν ὁ Σωτήρ· "6Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν"6, καὶ ἐν Ψαλμοῖς· "6Ὑπόμεινον τὸν Κύριον καὶ φύλαξον τὴν ὁδὸν αὐτοῦ καὶ ὑψώσει σε τοῦ κατακληρονομῆσαι γῆν"6, δῆλον δ' ὡς οὐ ταύτην ἣν πατοῦμεν καὶ σπείρομεν, – αὐτῆς ἦν βασιλεύς, –ἀλλὰ τὴν οὐράνιον, ἥτις ἐστὶν γνῶσις Θεοῦ τελειοτάτη· ταύτην "6δίκαιοι κληρονομήσουσιν καὶ κατασκηνώσουσιν εἰς αἰῶνα αἰῶνος ἐπ' αὐτήν"6 ἐπὶ δὲ τῆς αἰσθητῆς τοῦτο οὐκ ἔσται. Ταύτην οὖν κατεπαγγε<λλε>ται Θεὸς τῷ σπέρματι δώσειν τοῦ ἁγίου, σπέρμα δὲ ἐνταῦθα τὸ τέκνον λέγει. Διαφορὰ γὰρ πολλάκις σπέρματος καὶ τέκνου εὑρίσκεται· εἰ γὰρ τέκνον τινός τις γέγονεν, τούτῳ αὐτοῦ καὶ σπέρμα γέγονεν, οὐ μήν, ἐπεὶ σπέρμα, γίνεται καὶ τέκνον· συμ- βαίνει γὰρ μὴ μορ<φω>θῆναι μηδ' ἀποτελεσθῆναι ἢ ἐξεικονισθῆναι, ὡς ἡ γραφή φησιν. Ὥσπερ δὲ ἐν τοῖς σωματικοῖς ἐστιν σπέρμα μὴ γινόμενον τέκνον καὶ τέκνον ὂν καὶ σπέρμα, οὕτω καὶ ἐν τοῖς κατὰ ψυχὴν καὶ τὴν διάνοιαν. Ὁ Σωτὴρ γοῦν λέγει τοῖς εἰποῦσιν ὅτι "6πατέρα ἔχομεν τὸν Ἀβραάμ"6· "6Εἰ τέκνα τοῦ Ἀβραάμ ἐστε, τὰ ἔργα τοῦ Ἀβραὰμ ποιεῖτε"6· ἐκ γὰρ τούτων τις τέκνον γίνεται. Τούτους οὓς εἶπεν μὴ εἶναι τέκνα Ἀβραάμ, σπέρμα αὐτοῦ λέγει εἶναι φάσκων· "6Οἶδα ὅτι σπέρμα 219 Ἀβραάμ ἐστε"6, ὥστε δῆλον ὡς οὐ τὸ σπέρμα καὶ τέκνο[ν], ἀλλὰ σπέρμα μὲν καθὸ τὴν διαδοχὴν ἐκ τοῦ Ἀβραὰμ ἐσχήκασιν καὶ ἀνατροφὴν ἐξ αὐτοῦ ἐκαρπώσαντο, οὐκ ἐμιμήσαντο δὲ τούτου τὴν πρᾶξιν, δυνατὸν δὲ ἦν χρησα- μένους τῇ ἐπιτηδειότητι καὶ τέκνα γενέσθαι. Ἐνταῦθα οὖν, ἐπεὶ ἐπαγγελία δίδοται τῷ σπέρματι, τὸ σπέρμα τέκνον ἐκλαμβάνομεν. Ἐν Ψαλμοῖς γοῦν λέγεται· "6Σπέρμα Ἀβραὰμ δοῦλοι αὐτοῦ, υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ"6. Ὅτι δὲ δηλοῦταί ποτε ὡς οὐ τὸ σπέρμα καὶ τέκνον, Παῦλος γράφει· "6*** ἀλλ' οὐ πάντως τέκνα"6· οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ οὗτοι Ἰσραήλ, ἀλλ' ἐκεῖνος περὶ οὗ ὁ Σωτὴρ εἶπεν· "6Ἴδε ἄνθρωπος Ἰσραηλίτης, ἐν ᾧ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δόλος οὐχ ὑπάρχει"6· ἀλλ' <οὐχ> οὗτοι περὶ ὧν εἴρηται· "6Βλέπετε τὸν Ἰσραὴλ κατὰ σάρκα"6. Ταῦτα μὲν περὶ τῆς διαφορᾶς σπέρματος καὶ τέκνου· ἐπανελθετέον δὲ ἐπὶ τὸ ἐκτεθὲν ῥητόν. Οἰκοδομεῖ τοίνυν Ἀβρὰμ θυσιαστήριον εὐχαριστητικῶς κινούμενος, πνευμα- τικῶς ἀναφέρων θυσίας, εἰ καὶ τὸ σύμβολον ἐποίει περὶ ὧν εἴρηται "6ἀνενέγκαι πνευματικὰς θυσίας εὐπροσδέκτους τῷ Θεῷ"6 καὶ "6Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως"6 καὶ "6Θύσατε θυσίαν δικαιοσύνης καὶ ἐλπίσατε ἐπὶ Κύριον"6. "6Ἀνάγκη δὲ τὰ μὲν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς ταύταις ταῖς θ̣υσίαις καθαρίζεσθαι, αὐτὰ δὲ τὰ ἐπουράνια κρείττοσιν θυσίαις παρὰ ταύτας."6 Τοιοῦτον οὖν θυσια- στήριον οἰκοδομεῖ ὁ προκόπτων καὶ ἀκολουθήσας τῷ καλέσαντι καὶ ἔξω τῆς γῆς καὶ τῆς συγγενείας καὶ τοῦ οἴκου τοῦ πατρὸς γεγενημένος ὡς λοιπὸν ἀξιωθῆναι τοῦ ἰδεῖν Θεόν, αὐτοῦ καταξιώσαντος ὀφθῆναι τῷ ἁγίῳ. χιι, 8. Καὶ ἀπέστη ἐκεῖθεν εἰς τὸ ὄρος κατὰ ἀνατολὰς Β̣αιθήλ, καὶ ἔστησεν ἐκεῖ τὴν σκηνὴν αὐτοῦ κατὰ θάλασσαν καὶ Ἀγγαὶ κατὰ νότον. Τὸ μὲν ῥητὸν τί δηλοῖ, οὐκ ἔστιν ἄδηλον· πρὸς δ' ἀναγωγὴν σημαίνει ὡς ἐπὶ ὑψηλοτέραν προκοπὴν καὶ κ̣α̣τ̣ά̣σ̣τασιν διέβη. Δηλοῦται διὰ τοῦ ὄρους, καὶ οὐχ 220 ἁπλῶς "6εἰς τὸ ὄρος"6, ἀ̣λ̣λὰ τὸ τοῦ οἴκου τοῦ Θεοῦ· τοῦτο γὰρ Βαιθὴλ ἑρμηνεύε[τ]αι, ὅπερ οὐ μόνον ἐστίν, ἀλλὰ καὶ σὺν ἄλλοις κατὰ τὸ ἐν Ἄισμασιν εἰρημένον· "6Ὅμοιός ἐστιν ἀδελφιδός μου τῷ δόρκωνι ἢ νεβρῷ ἐλάφων ἐπὶ τὰ ὄρη Βαιθήλ"6. Πολλὰ γὰρ ὄρη καὶ βουνοὶ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ εἰσιν ὡς ἐκ τοῦ "6Ἰδοὺ οὗτος ἥκει πηδῶν ἐπὶ τὰ ὄρη διαλλόμενος ἐπὶ τοὺς βουνούς"6· καὶ καθ' ἑκάστην προκοπὴν ἔστιν εἰς βουνὸν ἀνελθεῖν, καὶ ἐκ τοῦ βουνοῦ εἰς ὄρος, καὶ ἐκ ταπεινοτέρων ὀρῶν εἰς ὑψηλότερα· τοῦτο γὰρ ἔν τε ταῖς εἰσαγωγαῖς τῶν ἀρετῶν καὶ ἐν ταῖς ἀρεταῖς γνωρίζεται. Ἓν δέ ἐστιν τὸ ἐπὶ πᾶσιν ὄρος, ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν, περὶ οὗ λέγεται· "6Ἔσται ἐπ' ἐσχάτου τῶν ἡμερῶν ἐμφανὲς τὸ ὄρος τοῦ Κυρίου"6, ὅπερ ἄλλο ἐστὶ παρὰ τὰ ἕτερα ὄρη, ὡς τὸν ἅγιον διδασκαλίας χάριν λέγειν, ἵνα μὴ ἀποσφάλωσίν τινες· "6Ἵνα τί ὑπολαμβάνετε, ὄρη τετ<υ>ρωμένα;"6 εἶτα παιδεύων τὸ ἐξοχώτατον ὄρος φησίν· "6Ὄρος τοῦ Θεοῦ ὄρος πῖον, ὄρος τετυρωμένον, ὄρος πῖον. Ἵνα τί ὑπολαμβάνετε, ὄρη τετυρωμένα, τὸ ὄρος ὃ εὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ;"6 ὅπερ σημαίνει τὸν ἐνανθρωπήσαντα Κύριον. Ἡ γὰρ ἐνσωμάτωσις δηλοῦται διὰ ταύτης τῆς λέξεως, καθὰ καὶ παρὰ τῷ Ἰώβ· "6Ἦ οὐχ ὥσπερ γάλα με ἤμελ-ξας, ἐτύρωσας δέ με ἴσα τυρῷ;"6 Μόνος γὰρ ὁ Σωτὴρ ἐκ παρθένου· διὸ λέγεται. Μὴ περὶ ἄλλων τοῦτο λέγεται; οὐδὲ γὰρ τοιαύτην ἔσχεν σύστασιν ἄλλος. Διόπερ ὁ Ἰὼβ οὐκ εἶπεν "3ἐτυρώθην"3, ἀλλ' "6ἴσα τυρῷ ἐτύρωσάς με"6· ὃ γὰρ πεποίηκεν τὸ Πνεῦμα, τουτὸ ἡ καταβολὴ τῶν σπερμάτων ἐν τοῖς ἄλλοις ἐνεργεῖ, Θεοῦ κελεύσαντος. Τὸ δ' αὐτὸ καὶ "6πῖον"6 ὑπάρχει ἐκ τῆς παρουσίας τοῦ Πνεύματοσκαὶ τῆς τοῦ Ὑψίστου δυνάμεως. Καὶ τῷ κοινῷ μὲν λόγῳ πάντες καὶ αὐτὸς ὁ ναὸς τοῦ Σωτῆρος κατὰ δημιουργίαν ἐκ Θεοῦ τυγχάνουσιν, ἐξαίρετον δὲ ἐπὶ τοῦ Κυρίου· ὀργάνῳ γὰρ αὐτῷ πρὸς τὴν ἐνανθρώπησιν κέχρηται. Καὶ ὥσπερ πᾶσα μὲν ἡ γῆ τοῦ Θεοῦ ἐστιν κτίσμα, ἐξαίρετον δὲ εἶχεν ὁ ναὸς διὰ τὸ ἐκεῖθεν τὸν Θεὸν χρημα- 221 τίζειν, οὕτως καὶ ἐπὶ τῶν προειρημένω̣ν. [Ὅ]τι δέ, ἔνθα Θεὸς χρηματίζει, οἶκος αὐτοῦ ὁ τόπος ἐκεῖνος λέγετ[αι], μαρτυρεῖ Ἰακὼβ λέγων· "6Ὡς φοβερὸς ὁ τόπος οὗτος· οὐκ ἔστιν τοῦτο ἀλλ' ἢ οἶκος Θεοῦ, καὶ αὕτη πύλη το<ῦ> οὐρανοῦ"6. Οὐ δεῖ οὖν προσέχειν, εἰ λέγοιεν πολλοὶ ἑαυτοὺς χριστοὺς κατὰ τὸ εἰρημένον· "6Πολλοὶ ἐλεύσονται ἐν τῷ ὀνόματί μου λέγοντες· Ἐγώ εἰμι ὁ Χριστός"6. Ἓν γάρ ἐστιν ὄρος ἐν ᾧ "6εὐδόκησεν ὁ Θεὸς κατοικεῖν"6· ἡ γὰρ εὐδόκησις τῆς κατοικήσεως αὐτὸ καὶ οὐκ ἀνὴρ ἔπλασεν. Εἰς τοῦτο οὖν τὸ ὄρος τῇ διανοίᾳ προκόπτων καίει ὁ Ἀβράμ. Ἀμέλει γοῦν ἐλθὸν ἐμαρτύρησεν αὐτῷ λέγον· "6Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν, καὶ εἶδεν καὶ ἐχάρη"6, φωτισθεὶς τῷ ἀληθινῷ φωτὶ προξενηθέντι αὐτῷ ἐκ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῶν προλαβουσῶν προκοπῶν. Εὖ δὲ καὶ τὸ ὄρος τοῦτο εἰρῆσθαι ὡς "6κατ' ἀνατολάς"6 ἐστιν· παντόθεν γὰρ φῶτα ἔχει. Οἵαν γὰρ ἂν ἐπίνοιαν τούτου τοῦ ὄρους λάβοις, φωτεινή ἐστιν· λέγεται γὰρ σοφία λόγος ζωὴ ἀλήθεια δικαιοσύνη ἁγιασμὸς ἀπολύ- τρωσις. Ταῦτα πάντα ἀνατέλλοντά εἰσι φῶτα, οὐ πολλὰ φῶτα κατὰ τὴν οὐσίαν, –ἓν γὰρ ἔχουσιν ὑποκείμενον τὸν τοῦ Θεοῦ Υἱόν, –ἀλλὰ κατ' ἐνεργείας διαφόρους. "6Κατὰ ἀνατολὰς"6 οὖν τοῦ οἴκου τοῦ Θεοῦ τοῦ δι' ὅλου καταυγαζομένου ἦλθεν ὁ ἅγιος ἐκ τῶν ἀρετῶν χειραγωγούμενος· δυνατὸν δὲ καὶ τὰ ποικίλα δόγματα τῆς εὐσεβείας ἀνατολὰς εἰπεῖν, δι' ὧν ἐληλυθὼς ὁ Ἀβρὰμ τὴν σκηνὴν ἔπηξεν, ᾗ ἐκέχρητο μὲν εἰς τὰς προκοπάς, –τοῦτο γὰρ ἡ σκηνὴ δηλοῖ, –τοῦ οἴκου τοῦ Θεοῦ μονίμου τυγχάνοντος· "6Διελεύσομαι"6 γὰρ "6ἐν τόπῳ σκηνῆς θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ Θεοῦ"6. Διελθὼν οὖν διὰ τῆς σκηνῆς πήγνυσιν αὐτὴν εἰς τὸν οἶκον τὸν ἀεὶ μένοντα, μεθ' ὃν οὐκ ἔστιν ἀνάβασις ἄλλη. Τοῦτο καὶ ἐν ἄλλῳ ψαλμῷ λέγεται· "6Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων· ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰστὰς αὐλὰς τοῦ Κυρίου"6. Ὁ γὰρ μήπω εἰς τὰς αὐλὰς φθάσας ἐν ταῖς σκηναῖς ἔχει τὴν ἀγάπην προκόπτων 222 καὶ προσδοκῶν τελείωσιν ἐν τῷ λέγειν· "6Ἡ καρδία μου καὶ ἡ σάρξ μο[υ ἀ]γαλλιάσεται ἐπὶ Θεὸν ζῶντα"6, ὅτε ἐν ἐκείνῃ τῇ καταστα ́σ[ει γί]νεται, μεθ' ἣν οὐκ ἔστιν ἑτέρα, εἰς ἣν οἱ φθάσαντες μακαρίζονται, λέγοντος τοῦ ψαλμοῦ· "6Μακάριοι πάντες οἱ κατοικου ̃ντες ἐν τῷ οἴκῳ σου"6, οὐ παροικοῦντες ἀλλὰ κατοικοῦντες· τοῦτο γὰρ τω ̃ν ἐν σκηναῖς καὶ προκοπαῖς ἴδιον, κατοικούντων δὲ τὸ εἰς Θεου ̃ οἶκον ἐλθεῖν, ἐν ᾧ μακαρίζονται οἷα "6εἰς τοὺς αἰῶνας τῶν αἰ ̓ω ́νων"6 αἰνοῦντες αὐτόν, ὅπερ τὸ ἐπὶ πᾶσιν τέλος δηλοῖ, εἰς ὃ ἔπηξεν τὴν σκηνὴν διὰ προκοπῶν διεληλυθὼς καὶ τελειότητος λοιπὸν μεταποιούμενος, εἰς ὃ ἥξει ὁ πειθόμενος τῷ λόγῳ παραινοῦντι· "6Φυ ́λαξον τὸν πόδα σου ἐν ᾧ ἐὰν ἀπέρχῃ εἰς οἶκον τοῦ Θεοῦ καὶ ἐγγὺς του ̃ α ̓κοῦσαι"6· οὕτω γὰρ κατοικῆσαι τὸν οἶκον δυνήσεται λέγων· "6Του ̃ κατοικεῖν με ἐν οἴκῳ Κυρίου εἰς μακρότητα ἡμερῶν"6. Εἰδέναι δει ̃ ὁ ́τι διὰ τούτων συμβολικῶς ἡ πολιτεία ἡ θεία δηλοῦται, κἂν τὸ προ ́σωπον τοῦ Ἀβρὰμ ἔτι τελείωσιν ἐπιδέχηται· οὔπω γὰρ μετακέκληται. "6Κατὰ θάλασσαν"6 δὲ τὴν σκηνὴν πήγνυσιν βέβαιος ὢν καὶ ἄσειστος διὰ τὸ τελείως ἀντέχεσθαι τῆς ἀρετῆς ὥστ' ἂν εἰπεῖν· "6Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις ἢ στενοχωρία <ἢ> διωγμός;"6 καὶ τὰ ἑξῆς, ἅπερ θάλασσαν λέγων οὐκ ἂν ἁμάρτοις. Ὁπούποτε γὰρ ἂν ᾖ ὁ ἅγιος, κἂν ἐν τελειότητι, ἐφεδρεύουσαν ἔχει τη ̀ν ζάλην καὶ τῆς γενητῆς φύσεως τὸ τρεπτόν, ὅπερ ἡνιοχῶν ὁ τέλειος κωλύει τὴν ἐνέργειαν τῆς κακίας ἐν δυνάμει αὐτῆς διαμένων, ὅπερ ἐστὶ μακάριον· ἀγαθοῦ γάρ ἐστι τοῦτο καὶ ἐν ἀρετῇ ὑπάρχοντος, ἐπεὶ καὶ ὁ κακὸς ἐν δυνάμει ἀρετῆς ὑπάρχει, τῇ ἰδίᾳ προθέσει τραπεὶς ἐπὶ τοῦτο και ̀ μὴ φυλάξας ἑαυτὸν ὡς γέγονεν ἀγαθός. Ὁ δ' αὐτὸς καὶ ἐν "6Ἀγγαὶ κατὰ νότον"6 πήγνυσι τὴν σκηνὴν οἰκείως τῷ ἐφθακέναι εἰς τὸ ὄρος τοῦ οἴκου τοῦ Θεοῦ καὶ δι' ὅλων πεφωτισμένος ἐκ τῶν ἀνατολῶν, 223 αἵτινές εἰσιν αἱ κατ' εἶδος ἀρεταί, καὶ μηδὲν τῶν ἀντι- στατ[ού]ντων ἐστὶ φροντίδα ποιούμενος, –οὐδὲ γὰρ αἱ ἐκ τῆς θαλάττης τρικυμι ́αι ἀνατρέπουσιν αὐτοῦ τὸ οἰκοδό- μημα καλῶς ἱδρύμενον, –ὁ ́σπερ τοὺς λόγους Ἰησοῦ εἰς ἔργα μεταβέβληκεν ἐν ἑορτῇ γινο ́μενος· τοῦτο γὰρ ἑρμη- νεύεται Ἀγγαί. Ἡ μεγάλη γὰρ ἑορτὴ η ̔ τῆς ἀρετῆς ὑπάρχει τελείωσις. Τοῦτο γὰρ καὶ ὁ ψαλμῳδός φησιν· "6Φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἤχου ἑορταζο ́ν- των"6· ο ̔ γὰρ ἀγαλλιώμενος ἐπὶ τῇ τοῦ Πνεύματος παρουσίᾳ καὶ ε ̓ξομολογούμενος οὐχ ὡς ἁμαρτάνων καὶ μετανοῶν ἀλλ' ὡς ευ ̓χαριστω ̃ν ἑορτάζει, –κεῖται γὰρ τὸ τῆς ἐξομο- λογήσεως ὄνομα α ̓ντι ̀ εὐχαριστίας ὡς ἐν τῷ "6Ἐξομολο- γοῦμαί σοι Πάτερ Κύριε του ̃ ου ̓ρανοῦ καὶ τῆς γῆς"6· –φησὶν γὰρ "6ὅτι ἐνθύμιον ἀνθρώπου"6, δηλονότι τοῦ ἀγαλλιωμένου, "6ἐξομολογήσεταί σοι καὶ ἐγκατα ́λειμμα ἐνθυμίου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἑορτάσει σοι"6. χιι, 8. Καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιạστη῾ριον τῷ Κυρίῳ κ̣α̣ὶ̣ ἐπεκαλέσατο ἐπὶ τῷ ὀνόματι Κυρίου. Πρεπόντως ὁ διαβὰς καὶ ἐπὶ τ̣ὸ̣ ἀποδοθὲν ὄρος καὶ̣ τὸν οἶκον τοῦ Θεοῦ καὶ ὑπὸ τῶν ἀνατολῶ̣ν καταυγασθεὶς καὶ πατήσας τὰ ἀντικείμενα οὕτως ὡς μηδένα αὐτὰ δεδί̣ττεσθαι εὐχαριστίας ἤγειρε θυσιαστήριον, ἐφ' ᾧ ἐπιτελεῖ τῆς αἰνέσεως τὴν θυσίαν καὶ δικαιοσύνην κατὰ τὰ προειρημένα περὶ πνευ<μα>τικῆς θυσίας, ἥτις ἐστὶ τὸ σύστημα τῶν ἀρετῶν. "6Καὶ ἐπεκαλέσατο ἐπὶ τῷ ὀνόματι Κυρίου"6, ὅπερ προχείρως τις ἐκλαμβάνων λέξει ὅτι τὸ θυσιαστήριον, ὃ ᾠκοδόμησεν, ὠνόμασεν "3Κυρίου"3· δυνατὸν δὲ μυστηρι- κώτερον καὶ ὑπεραναβεβηκότως εἰπεῖν αὐτὸν ἐπὶ τῷ ὀνόματι Κυρίου ἐπικαλέσασθαι οὐ ψιλῇ συλλαβῇ ἀλλὰ πραγματικῶς, τοῦ νοῦ τὴν ἔντευξιν Θεῷ ποιουμένου, μὴ δι' ἄλλο τὰς ἀρετὰς ἐνεργοῦν̣τ̣ο̣ς ἀλλὰ δι' αὐτὸ τὸ ἀγαθόν. Κατὰ γὰρ ταύτην τὴν διάνοιαν καὶ ὁ Σωτὴρ διδάσκων προσεύχεσθαι καὶ λέγειν "6Πάτερ ἡμῶν"6 οὐ κατὰ 224 προφορὰν τοῦτο ποιεῖν ἐπαίδευσεν, ἀλλ' ἵνα παραστήσωσιν ἑ̣α̣υ̣τοὺς υἱοὺς καὶ μηκ̣έ̣τ̣ι̣ ματαίως ἐπικαλῶνται τὸν Θεὸν πατέρα· ο̣ὕτως ἀκούομεν καὶ̣ ...... "6Οὐδεὶς λέγει Κύριον Ἰησοῦν εἰ μὴ ἐν Πνεύματι α̣῾γίῳ"6, τοῦτο δὲ οὐχ ὑπ̣ά̣ρ̣χ̣ε̣ι̣ τοῖς κατὰ μόνην τὴν προφορὰν τοῦ̣τ̣ο λέγουσιν καὶ μ̣α̣τ̣α̣ί̣ω̣ς̣. ῾Ο̣ οὖν Ἀβρὰμ τὴν οἰκοδομὴν τοῦ ἐξ ἀ̣ρετῶν θυσια- στηρίου τ̣ῷ̣ Κυρίῳ καὶ δι' αὐτὸν καὶ οὐ δι' ἄλλον ἐποιεῖτο. χιι, 9. Καὶ ἐπῆρεν Ἀβρὰμ καὶ πορευθεὶς ἐστρατο- πέδευσεν ἐν τῇ ἐ̣ρ̣ή̣μ̣ῳ̣. Τοῦ ῥητοῦ οὐκ ἀδήλου ὄντος, λεκτέον τὸ πρὸς διάνοιαν. Κ̣ἂ̣ν̣ γ̣α̣ρ̣̀ τ̣έ̣λειός τις ᾖ, οὐκ ἀπαλλάττεται τῶν πολεμούντων, κἂν ἔ̣τ̣ι̣ νήπιος καθὼς Κορίνθιοι, οἷς ἐπιστέλλων Παῦλός φησιν· "6Πε̣ιρασμὸς ὑμᾶς οὐκ εἴληφεν εἰ μὴ ἀνθρώπινος· πιστὸς δὲ ὁ Θεός, ὃς ο̣ὐκ ἐ̣άσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ σὺν τῷ πειρ̣α̣σ̣μ̣ῷ̣ ποιήσει τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν"6. Ἐφεσίοις δὲ ὡς ἤδη τελείοις ἐπιστέλλει καὶ ἑαυτὸν ἀριθμῶν· "6Οὐ γάρ ἐστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα"6· οὐ λέγει "3οὐ γέγονεν"3, ἀλλ' "6οὐκ ἔστιν ἡμῖν ἡ πάλη"6· γέγονεν γάρ ποτε, ὅτε ὑπετίθετο ἑαυτὸν σάρκινον εἶναι πεπραμένον ὑπὸ τὴν ἁμαρτίαν, σημαίνων τοὺς ἐν τοιαύτῃ καταστάσει, οἷς καὶ δέον ἐστὶν λέγειν ὡς αὐτὸς γράφει· "6῾Υπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μή πως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι"6. Ἔχει δὲ τὴν μάχην χρώμενος ὅπλοις ἐπουρανίοις ᾗ πρὸς πνευματικὰ ἐπουράνια. Τελείου οὖν ἐστιν τὸ πολεμεῖν καθὰ καὶ Ἀβρὰμ ἐπιστὰς τῷ οἴκῳ τοῦ Θεοῦ κατὰ τὰ ἀποδοθέντα, κατ' αὐτὸ καὶ αὐτὸς γινόμενος καθὰ εἴρηται· "6Οἱ πεποιθότες ἐπὶ Κύριον ὡς ὄρος Σιών"6. Τηλικοῦτος οὖν γεγενημένος, ἐπιστάμενος ὅτι οὐκ ἀφέξεται αὐτοῦ ἡ ἐναντία φάλαγξ, ἐστρα<το>πέδευσεν, ὥσπερ ὁ Ἰακὼβ μέλλων τῷ Ἠσαύ, μεγάλῳ πολεμίῳ ὄντι καὶ φθονοῦντι αὐτῷ, συντυγχάνειν, "6εἶδεν παρεμβολὴν Θεοῦ"6· ἔδει γὰρ τὸν Θεὸν παρα- σκευάζοντα εἰς ἀνδρείαν τὸν ἀθλητὴν δεῖξαι αὐτῷ ὅτι ἔχει τοὺς συμμαχοῦντας. Καὶ Ἐλισαῖος δὲ μέλλων πορθεῖ- σθαι ὑπὸ τοῦ τῆς Συρίας βασιλέως εἶχεν περὶ ἑαυτὸν θεῖον στρατόπεδον, ὅπερ ἀγνοοῦν τὸ παιδάριον τοῦ προφήτου πεφόβηται, ὕστερον ἐκ τῆς ἀποκαλύψεως τῶν ὀφθαλμῶν αὐτοῦ θαρσήσας. 225 Εὖ̣ δὲ καὶ τὸ "6ἐν τῇ ἐρήμῳ"6 ἐστρατοπεδευκέναι. Οὕτω γοῦν καὶ ὁ Σωτὴρ ἐν ἐρήμῳ πειράζεται· καὶ ἐν Ἠσαΐᾳ ἔχεις· "6῾Ως καταιγὶς δι' ἐρήμου διέλθοι ἐξ ἐρήμου ἐρχομένη ἐκ γῆς"6, ἅπερ δηλοῖ πειρασμόν. Ἐστρα- <το>πέδευσεν οὖν ὁ Ἀβρὰμ "6ἐν τῇ ἐρήμῳ"6· ἔξω πόλεων γὰρ ὡς ἐπὶ τὸ πλεῖστον οἱ πειρασμοὶ <ἔ>τυχον διὰ τὸ ἀβοηθήτους αὐτοὺς εὑρίσκεσθαι ἐκ τῶν ὁμοίων ἀνθρώπων· "6Ἀδελφὸς γὰρ ὑπὸ ἀδελφοῦ βοηθούμενος ὡς πόλις ὀχυρά"6. Καὶ ὁ Σωτὴρ οὖν, ὡς πρόειπον, ἐν ἐρήμῳ πειράζεται, ἵν' ᾖ τὸ λεγόμενον τοιοῦτον· ἡ εἰς πειρασμὸν ἐρχομένη ψυχὴ ὥσπερ ἔρημον ἑαυτὴν ὁρᾷ συμμαχίας, Θεοῦ τοῦτο οἰκονομικῶς ποιοῦντος· εἰ γὰρ προαπεκάλυπτεν αὐτοῖς τὴν ἔκβασιν καὶ ὅτι νικήσουσιν τὸν πειρασμόν, οὐ μέγα [ἦν] τὸ ἀνυσμένον· οὐδὲ γὰρ εὐχὴν ἀνέπεμπον οὐδ' ἄλλο τι ἐποίουν. Δείκνυται δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτοῖς πάλιν ὅτι καὶ συμμαχεῖ Θεός, ἵνα μηδ' οὕτως ἀποκακήσωσιν. Καὶ οὕτω μὲν ἀνθρώποις, τῷ δὲ Σωτῆρι μετὰ τὸν πειρασμὸν φαίνονται ἄγγελοι, καὶ ταῦτα πρὸς διακονίαν, ἵνα μὴ οἱ ἐθελόκακοι, πρὸ τούτου φανέντων τῶν ἀγγέλων, εἴπωσιν ὅτι ἀγγέλων ἡ νίκη. Τίς [δ]ε̣ ἡ διακονία τῶν ἀγγέλων ἢ ἡ παράθεσις τῶν ψυχῶν τῶν πειθομένων Θεῷ; Οὐδὲ γὰρ βοηθείας ἕνεκα παρῆσαν. Καὶ τῷ Πέτρῳ γοῦν ἐπιτιμᾷ διὰ τὸ ἐθέλειν ὑπερπολεμεῖν αὐτοῦ λέγων· "6Ἢ δοκεῖς ὅτι οὐκ ἐδυνάμην παρακαλέσαι τὸν Πατέρα μου καὶ ἔδωκεν ἄν μοι πλείους δώδεκα λεγιώνων ἀγγέλων;"6 Οὕτως οὐ δέεται συμμαχίας. χιι, 10. Καὶ ἐγένετο λιμὸς ἐπὶ τῆς γῆς· καὶ κατέβη Ἀβρὰμ εἰς Αἴγυπτον παροικῆσαι ἐκεῖ, ὅτι ἐνίσχυσεν λιμὸς ἐπὶ τῆς γῆς. Σαφὲς μὲν τὸ τοῦ ῥητοῦ· τὸ δὲ πρὸς διάνοιαν τοῦτό ἐστιν. Οἱ σοφοὶ τοῦ Θεοῦ ἀνωτέρω τῆς γῆς εἰσιν, οὐκ ὄντες αὐτῆς· ἐν ταύτῃ οὖν λιμὸς γέγονεν· τοῖς τὰ ἐπίγεια γὰρ φρονοῦσιν λιμὸς τοῦ ἀκοῦσαι λόγον Κυρίου πολλάκις συμβαίνει, ἐὰν τούτου ὦσιν ἄξιοι, ὕστερόν ποτε τούτου πάλιν ἀποδιδομένου. Ταύτῃ τοι καὶ ὁ Ἀβρὰμ εἰς Αἴγυπτον "6παροικῆσαι"6, οὐ κατοικῆσαι, ἔρχεται συγκαταβαίνων τοῖς τὴν λιμὸν παθοῦσιν, οὐκ οἰκῆσαι ἐκεῖ· καὶ γὰρ οἱ ἀμφὶ τὸν Δανιὴλ οὐ δ̣ι' ἁμαρτήματα γεγένηνται ἐν Βαβυλῶνι, ἀλλ' ἵνα βοηθῶσιν τοῖς ἐκεῖ διὰ ἁμαρτήματα μετοικισθ[εῖ]σιν. Φείδεται γὰρ Θεὸς τῶν ἁμαρτανόντων εἰς ὅσον ἐνδέχεται 226 [αὐ]τοὺς μετανοῆσαι. Καὶ ὥσπερ ἰατροὶ πέμπονται ἐνθὰ πολλὴ βλάβη ἐστὶν ἢ νόσος οὐχ ἵνα αὐτοὶ κοινωνήσωσιν νόσῳ ἀλλ' ἵνα ἰάσωνται τοὺς νοσοῦντας, οὕτως οἱ ἅγιοι ἐγίνοντο εἰς τὴν σύγχυσιν καὶ εἰς τὴν Βαβυλῶνα οὐ κάτοικοι ὄντες· οὐδὲν γὰρ ἄξιον αὐτῆς ἐκέκτηντο, ὅπερ ἴδιον τῶν κατοικούντων. χιι, 11–13. Ἐγένετο δέ, ἡνίκα ἤγγισεν Ἀβρὰμ εἰσελθεῖν εἰς Αἴγυπτον, εἶπεν Ἀβρὰμ Σάρᾳ τῇ γυναικὶ αὐτοῦ· Γινώσκω ἐγὼ ὅτι γυνὴ εὐπρόσωπος εἶ· ἔσται οὖν ὡς ἂν ἴδωσίν σε οἱ Αἰγύπτιοι, ἐροῦσιν ὅτι γυνὴ αὐτοῦ αὐτή, καὶ ἀποκτενοῦσίν με, σὲ δὲ περιποιήσονται· εἰπὸν οὖν ὅτι ἀδελφὴ αὐτοῦ εἰμι, ὅπως ἂν εὖ μοι γένηται διὰ σέ, καὶ ζήσεται ἡ ψυχή μου ἕνεκεν σοῦ. Πρὸς τὸ ῥητὸν ἁρμόζεται μετὰ συνέσεως πρὸς τὴν τῶν Αἰγυπτίων φιληδονίαν πιστεύων ὅτι ἐξαγαγὼν αὐτὸν ἐκ τῆς ἰδίας γῆς Θεὸς οὐ περιόψεται αὐτοῦ τὸν γάμον, ὑποβάλλει δὲ αὐτῇ λέγειν πρὸς αὐτοὺς ὅτι ἀδελφὴ αὐτοῦ ἐστιν, ἵνα, τούτου πρώτου καὶ μόνου λεγομένου, μὴ δέξωνται ἔννοιαν ὡς γυναικὸς αὐτοῦ αὐτῆς ὑπαρχούσης, ἀπατῶν αὐτοὺς διὰ τούτου. Ἦν γὰρ καὶ ἐν Αἰγύπτῳ ἀδελφογαμία καὶ ἐν τῇ αὐτοῦ γῇ, ὡς ὕστερον εἶπεν· "6Καὶ γὰρ ἀληθῶς ἀδελφή μού ἐστιν"6· ἀπάτην οὖν αὐτοὺς σοφὴν ἀπατᾷ τοῦτο μόνον καὶ πρῶτον λέγειν ὑποβαλλομένη. Σῳζομένων γὰρ εἰκὸς τῶν κατὰ μοιχείας νόμων παρ' Αἰγυπτίοις, ἐλογίζετο ὁ Ἀβρὰμ ὅτι, ἵνα μὴ δόξωσιν εἶναι μοιχοί, δολοφονήσουσιν αὐτόν. Ταῦτα μὲν οὖν τοῦ ῥητοῦ χάριν· πρὸς δὲ διάνοιαν οἱ ἀπὸ ἀρετῆς εἰς κακίαν ἐρχόμενοι κατιέναι εἰς τὴν Αἴγυπτον λέγονται· εἴρηται γοῦν πολλάκις· "6Οὐαὶ οἱ καταβαί- νοντες εἰς Αἴγυπτον"6. Ἐνταῦθα οὐ "3κατέβη"3 [π]ρόκειται, ἀλλ' εἰσῆλθεν· ἡ γὰρ τούτου κατάβασις εἴσοδός ἐστιν. 227 Συγκαταβαίνει γὰρ πᾶς σπουδαῖος τοῖς σφαλλομένοις οὐ σφαλλόμενος ἀλλὰ μετάγων αὐτοὺς τοῦ σφάλματος· καὶ ὥσπερ γίνεται Ἰουδαίοις Ἰουδαῖος οὐκ ὢν Ἰουδαῖος,καὶ ἀνόμοις ἄνομος οὐκ ὢν ἄνομος, οὕτω γίνεταί τις εἰς Αἴγυπτον οὐκ αἰγυπτιάζων. Διὸ ἄλλοι καταβαινέτωσαν ἐκεῖ, αὐτὸς δὲ εἰσέρχεται· οὐ γὰρ κακία αὐτῶν κατήνεγκεν, ἀλλ' οἰκονομία τις ἐκτελουμένη. Εἰσέρχεται ὁ ἐνάρετος εἰς Αἴγυπτον πολλάκις χρώμενος ἀλλοτρίᾳ παιδεύσει, ἵν' ἐξ αὐτῆς τι χρήσιμον κατασκευάσῃ, καθὰ καὶ Παῦλος ὁ μακάριος πεποίηκεν φάσκων τὸ ἀπὸ Ἀράτου "6Τοῦ γὰρ καὶ γένος ἐσμέν"6, ἵνα τὰ ἑξῆς ποιήσῃ, καὶ τὸ "6Ἀγνώστῳ Θεῷ"6 καὶ τὸ "6Κρῆτες ἀεὶ ψεῦσται"6· οὕτω δὲ καὶ παραινεῖ πᾶν νόημα αἰχμαλωτίζεσθαι εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ. Εἰσελθών, καθὰ εἴπομεν, εἰς Αἴγυπτον τῇ ἀρετῇ ὑποτάσσεταί τινα, ἵνα εἴπῃ ὅτι γυνὴ αὐτοῦ ἐστιν· ὁ γὰρ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σπουδαῖος καὶ τέλειος οὐκ ἀποκληρωτικῶς ἑαυτοῦ τὴν ἀρετὴν εἶναί φησιν τοῖς ὑποδεεστέροις, ἵνα μὴ φθόνον αὐτοῖς εἰσαγάγῃ, ἀδελφὴν δὲ ἑαυτοῦ αὐτὴν εἶναί φησιν τὰ δευτερεῖα πρὸς ἕνωσιν τὴν πρὸς ἀρετὴν ἑαυτοῦ διδούς, ἵνα συγκατέλθῃ τοῖς ἀσθενέσιν, οὕτω τε ποθήσωσιν αὐτὴν ὡς κοινῇ ἐκκειμένην δέξεσθαι. Πολλάκις γοῦν ἐπιστῆσαί τινα βουλόμενοι κοινοποιοῦμεν τὰ θεωρήματα οἷον τὰ περὶ προνοίας, ἵν' οὕτω μετὰ τοῦτο καὶ δέξηται ἑαυτῷ αὐτήν. Ἡ εὐαγγελικὴ οὖν διδασκαλία ἀστὴ γαμετὴ τοῦ σπουδαίου ἐστίν· ταύτην δὲ οὐχ ἁρπάζει, εἰ καὶ ἐν τοῖς τελείοις αὐτὴν λαλεῖ, ἀλλὰ κοινοποιεῖται πᾶσιν ταύτην, καθάπερ Παῦλος λέγων· "6Θέλω δὲ πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν"6· τοιοῦτοι γὰρ γεγενημένοι γνώσονται ὅτι τοῦ τελείου σύζυγός ἐστιν αὕτη ἡ παίδευσις· "6Ἡ σοφία"6 γὰρ "6τίκτει ἀνδρὶ φρόνησιν"6, καὶ ἐγώ, φησὶν ὁ τέλειος, "6ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς"6, σοφίας δηλονότι· ὁ σόφος δὲ τῶν ἑαυτοῦ πᾶσιν μεταδοῦναι βούλεται· οὕτω γὰρ οὐδὲ φθονήσουσιν. χιι, 14–16. Ἐγένετο δέ, ἡνίκα εἰσῆλθεν ὁ Ἀβρὰμ εἰς 228 Αἴγυπτον, ἰδόντες οἱ Αἰγύπτιοι τὴν γυναῖκα ὅτι καλὴ εἴη σφόδρα, καὶ εἶδον αὐτὴν οἱ ἄρχοντες Φαραώ, καὶ ἐπῄνεσαν αὐτὴν πρὸς Φαραώ, καὶ εἰσήγαγον αὐτὴν εἰς τὸν οἶκον Φαραώ· καὶ τῷ Ἀβρὰμ εὖ ἐχρήσαντο δι' αὐτήν, καὶ ἐγένετο αὐτῷ πρόβατα καὶ μόσχοι καὶ ὄνοι καὶ παῖδες καὶ παιδίσκαι <καὶ> ἡμίονοι καὶ κάμηλοι. Τὸ συνετὸν βούλευμα τοῦ πατριάρχου οὐκ ἠστόχησεν· οὔτε γὰρ ἐπεβουλεύθη, ἀλλὰ καὶ ὁδός τις γίνεται τοῦ μὴ διαφθαρῆναι τὸν γάμον τοῦ ὁσίου· οὐδὲ γὰρ ὡς πρὸς ἠμελημένην ἐπεπήδησαν Αἰγύπτιοι· ἀλλὰ γὰρ οἱ ἄρχοντες θεασάμενοι τῷ βασιλεῖ χάριν κατατιθέμενοι προσήγαγον αὐτὴν ὡς δῶρον αὐτῷ, οὕτω τε συμβέβηκεν τὸ καὶ καλῶς αὐτοὺς τῷ Ἀβρὰμ δι' αὐτὴν χρήσασθαι. Εἰσέρχεται τοίνυν εἰς Αἴγυπτον ὁ Ἀβρὰμ κατὰ τὸν ἀλληγορίας τρόπον ὡς τέλειος πρὸς ἀτελεῖς, ἵν' ὠφεληθῶσιν, ἁρμοζόμενος, ἔχων τὴν ἀρετήν, ὡς προείρηται, οὐχ ὡς ἀποκληρωτικῶς αὐτῷ προσοῦσαν, ἀλλ' ἅπασιν αὐτὴν ὑποδεικνὺς ὡς ἀδελφὴν συγκατιών, ἵν' οὕτω δυνηθῶσιν θεασάμενοι ἀγαπῆσαι αὐτήν. Παρατήρει δὲ ὅτι οἱ ἄρχοντες αὐτὴν εἶδον· ἔστιν γὰρ καὶ ἐν τῷ τάγματι τῶν κατὰ ἀλληγορίαν Αἰγυπτίων καθαριότεροί τινες οἳ καὶ πολλὴν ἔχουσιν ἐπιτηδειότητα πρὸς τὸ θεάσασθαι τὴν ἀρετήν. Οὗτοι δὲ οὐκ ἄχρι μόνον τοῦ θεάσασθαι γεγένηνται, ἀλλὰ καὶ εἰσήγαγον αὐτὴν πρὸς τὸν ἄρχοντα ἑαυτῶν, τοῦτ' ἔστιν τὸν ἡγεμονεύοντα αὐτῶν λόγον μετὰ τοῦ ἐπαινεῖν αὐτήν· οὗτος γὰρ ὁ σκοπὸς ἦν τοῦ ἁγίου Ἀβρὰμ εὐαγώγως αὐτοὺς *** 229 <χῃ, 12. Περὶ δὲ ἡλίου δυσμὰς ἔκστασις ἐπέπεσε τῷ Ἀβράμ, καὶ ἰδοὺ φόβος σκοτεινὸς μέγας ἐπιπίπτει αὐτῷ.> 230 <Ὁ δὲ Ἀβρὰμ> ὡς θεῖα θεάματα θεωρῶν ἐφοβήθη φόβον προσήκοντα τελείῳ. Παρατήρει δὲ ὅτι περὶ ἡλίου δυσμὰς ἔκστασις ἐπ' αὐτὸν ἐπέπεσεν, προκοπὴν σημαίνοντος τοῦ λόγου διὰ τοῦ παρεληλυθέναι αὐτῷ τὴν τῆς παρούσης καταστάσεως ἡμέραν, ἵν' ἄλλη αὐτὸν προκοπὴ διαδέξηται εὐλογίας ἐπ' αὐτὸν φθανούσης, καθ' ἣν εἴρηται· "6Μακρότητι ἡμερῶν ἐμπλήσω αὐτόν"6, οὐ πάντως πολυχρονιότητα αὐτῷ ἐπαγγελλόμενος, ἀλλὰ δῆλον ὡς φωτισμῶν προκοπάς. "6Ἔκστασις"6 οὖν ἐπι<πί>πτει αὐτῷ, ἔκ<σ>τασις δὲ οὐχ ἡ παραφροσύνη ὁμοία, ἀλλ' ὁ θαυμασμὸς καὶ τὸ μεταστῆναι ἀπὸ τῶν ὁρατῶν ἐπὶ τὰ ἀόρατα. Λέγει γοῦν ὁ ἀπόστολος· "6Εἴτε γὰρ ἐξέστημεν Θεῷ, εἴτε σωφρονοῦμεν ὑμῖν"6, οὐ τόδε δηλῶν ὅτι Θεῷ ἐμάνημεν, ἀλλ' ὅτι, κἂν ἔξω τῶν ἀνθρωπίνων διὰ θεωρίαν γενώμεθα, Θεῷ τοῦτο ποιοῦμεν, καθὰ καὶ Δαυίδ φησιν· "6Ἐγὼ εἶπα ἐν τῇ ἐκστάσει μου· Πᾶς ἄνθρωπος ψεύστης"6· ἐκστὰς γὰρ καὶ γενόμενος θεὸς λέγει περὶ τῶν ἀνθρώπων ὅτι ψεῦσταί εἰσιν, αὐτὸς οὐκέτι ἄνθρωπος ὑπάρχων διὰ τὴν τοῦ ἁγίου πνεύματος κοινωνίαν, ἀλλ' ἄλλος ἐκείνων τυγχάνων, περὶ ὧν εἴρηται· "6Ὅπου γὰρ ἔρις καὶ ζῆλος ἐν ὑμῖν, οὐχὶ ἄνθρωποί ἐστε καὶ κατὰ ἄνθρωπον περιπατεῖτε;"6 Ἐκστάντος οὖν τοῦ Ἀβράμ, σκοτεινὸς φόβος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπι- <πί>πτει αὐτῷ, οὐ σκότους μετέχων ἀλλ' ἀσαφείας καὶ μὴ γιγνωσκόμενος προχείρως· οὗτος μέγας ὑπάρχων φόβος οὐ μικροῖς συμβαίνει. Ὅτι δὲ ἀντὶ ἀσαφείας πολλάκις ὁ σκότος παραλαμβάνεται, εἴρηται· "6Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ"6· καὶ τῷ ὄντι ἡ τῶν ὑπερφυῶν δογμάτων θεωρία καὶ κατάλημψις καὶ τοῖς μεγάλοις εἴλιγγον ἐμποιεῖ καὶ φόβον θεῖον μετ' εὐλαβείας τοῖς τοιούτοις ἐπιβάλλουσιν. χη, 13–14. Καὶ ἐρρέθη πρὸς Ἀβράμ· Γιγνώσκων γνώσῃ ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ, καὶ δουλώσουσιν αὐτοὺς καὶ κακώσουσιν αὐτοὺς τετρακόσια ἔτη· τὸ δὲ ἔθνος, ᾧ ἂν δουλεύσουσιν, κρινῶ ἐγώ· μετὰ δὲ ταῦτα ἐλεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς. 231 Τὴν εἰς Αἴγυπτον παροίκησιντοῦ λαοῦ τὸ λόγιον προαναφωνεῖ· οὐκ ἰδίαν γὰρ οὖσαν παρῴκησαν δουλεύ- σαντες τῷ Φαραὼ καὶ πολλὰ ὑπ' αὐτοῦ καὶ τῶν Αἰγυπτίων κακωθέντες. Οὐ μάχεται δὲ τοῖς ἐνταῦθα τὰ ἐν τῇ Ἐξόδῳ γεγραμμένα· ἐκεῖ γὰρ εἴρηται· "6Μετὰ τετρακόσια καὶ τριάκοντα ἔτη ἐξῆλθεν ἡ δύναμις Κυρίου ἐκ γῆς Αἰγύπτου"6, ἐνταῦθα "6μετὰ τετρακόσιά"6 φησιν· ἀλλ' ἐπιστῆσαι δεῖ ὅτι οὐκ ἐρρέθη ὡς πληρωθέντων τῶν τετρακοσίων ἐτῶν ἐξῆλθον ἀλλὰ μετὰ τετρακόσια ἔτη, ὅπερ ἐμφαίνει τὰ τριάκοντα. Καὶ τὸ "6κρινῶ δὲ ἐγὼ τὸ ἔθνος ᾧ ἂν δουλεύσωσιν"6 ἐκβάσεως τετύχηκεν κατὰ τὰ ἐν Ἐξόδῳ γεγραμμένα· δεκάπληγον γὰρ αὐτοῖς ἐπήγαγεν καὶ τελευταῖον ἔδυσαν ὡσεὶ μόλιβος ἐν ὕδατι πολλῷ. Ἀλλὰ καὶ "6μετὰ ἀποσκευῆς πολλῆς"6 ἐξεληλύθασιν, ὡς ἡ ἱστορία δηλοῖ, ἐξ ἧς παιδευόμεθα ὅτι, κἂν ἐν χρόνῳ Θεός τινα κακώσῃ, οὐκ ἀδιαφόρως τοῦτο ποιεῖ ἀλλ' ἐπ' ἀγαθῷ τέλει. Εἰ δὲ αἰνίττεται ὁ λόγος καὶ τὴν τῶν ἁγίων παροίκησιν, συνεπισκέψαι. χη, 15–16. Σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου <μετ' εἰρήνης> τραφεὶς ἐν γήρει καλῷ· τετάρτη δὲ γενεᾷ ἀποστραφήσονται ὧδε· οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμορραίων ἕως τοῦ νῦν. Φαίνεται ἐκ τοῦ προχείρου τὴν ἐκ τοῦ βίου ἀναχώρησιν αὐτῷ προαπαγγέλλων. Πρὸς δὲ ἀναγωγὴν ταῦτα ἂν λεχθείη. Ὁ σοφὸς ἐν εἰρήνῃ ἀπέρχεται τοῦ βίου, ὁ δ' ἁμαρτάνων συγκεχυμένους ἔχει λογισμούς, ταραττομένην ἔχει τὴν ψυχήν· καὶ ὡς παραλαμβάνεταί τις ἐν τῷ θανάτῳ, οὕτω καὶ κρίνεται. Ὁ εἰρήνην ἑαυτῷ ἀπ' ἐντεῦθεν κατασκευάσας ἐν εἰρήνῃ καὶ ἀπέρχεται, ὁ δὲ ταράχους ἔχων καὶ συγκεχυμένους λογισμοὺς πρὸς τοῦτο καὶ κρι- θήσεται. Τοῦτο δηλοῦται ἐκ τοῦ ἐν τῷ Ἐκκλησιαστῇ· "6Οὗ ἐὰν πέσῃ τὸ ξύλον, ἐκεῖ μενεῖ"6. Οὐκ ἔστι δὲ τοῦτο οὕτως ἔχον ἐπὶ ἱστορίας· οὐ γὰρ πάντως ἔνθα πίπτει ξύλον, ἐκεῖ μενεῖ· πολλάκις γὰρ καὶ μετάγεται· ἀλλὰ δῆλον ὡς ὁ ἄνθρωπός ἐστιν ὁ διὰ τοῦ ξύλου ἐν αἰνιγμῷ σημαινόμενος, οὕτω κριθησόμενος ὡς καὶ εὑρίσκεται. 232 Ἁρμοζόντως οὖν ἐν εἰρήνῃἈβραὰμ ἀπελεύσεται πρὸς τοὺς πατέρας ευάρεστος ὢν Θεῷ, τῆς αὐτῆς ἐπαγγελίας κοινωνῶν· "6Ἀπαρχὴ"6 γὰρ "6Χριστός, ἔπειτα οἱ τοῦ Χριστοῦ"6. Καὶ αὐτῶν δὲ τῶν δικαίων διάφορος ἡ ἐπαγγελία καὶ ἡ μονή· πολλαὶ γὰρ μοναὶ παρὰ τῷ Πατρί. Πρὸς οὖν τοὺς πατέρας τοὺς κατὰ πνεῦμα ἀπελεύσεται ὁ σπουδαῖος τῇ ὁμοιότητι τῶν τρόπων υἱὸς ὑπάρχων αὐτῶν, κἂν κατὰ σάρκα φαύλους ἔχῃ πατέρας. Ταῦτα περὶ αὐτοῦ τοῦ Ἀβρὰμ εἰπὼν περὶ τῶν ἐξ αὐτοῦ λέγει ὅτι "6τετάρτη γενεᾷ ἀποστραφήσονται ὧδε"6, τὴν ἐπὶ τὴν γῆν τῆς κληρονομίας δηλῶν. Διὰ δὲ τοῦτο μετὰ "6τετρακόσια ἔτη"6 φησὶν τὴν ἀποστροφὴν ἔσεσθαι, διότι ουπω ἐξεπλήρωσαν οἱ Ἀμορραῖοι ἑαυτῶν τὰς ἁμαρτίας, δι' ἃς λοιπὸν πείσονται καταστροφήν, ἵν' ἐκείνων δικασθέντων αὐτοὶ οἰκήτορες τῆς γῆς ἐκείνων γένωνται. Καὶ τὰς τιμωρίας γὰρ ὁ Θεὸς μέτρῳ καὶ καιρῷ ἐπιφέρει μακροθυμῶν ἕως ὁ καιρὸς ἐνστῇ τῆς ἀνταποδόσεως. Τούτῳ ὅμοιον καὶ κατασκευαστικὸν ὑπάρχει τὸ ἐν τῷ εὐαγγελίῳ λεγόμενον· "6Τότε Ἰησοῦς ἤρξατο ὀνειδίζειν τὰς πόλεις ἐν αἷς ἐγένοντο αἱ πλεῖσται δυνάμεις αὐτοῦ, ὅτι οὐ μετενόησαν· Οὐαί σοι, Χοραζίν· οὐα<ί> σοι Βηθσαϊδάν, ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδόνι ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν σοί, πάλαι ἂν ἐν σάκκῳ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ σποδῷ μετε- νόησαν"6. Πρὸς ὃ λέγοι τις ἄν· Πῶς οὖν οὐκ ἐγένοντο, εἴ γε μετενόουν, ἀλλ' ἐκεῖ ἐπετελέσθησαν ἔνθα οὐ μετενόη- σαν; Καὶ λέγοιμεν ὅτι σοφία ἐστὶν ὁ υἱὸς τοῦ Θεοῦ, ὃς καὶ ταῦτα ἐποίησεν· ἐπεὶ γὰρ τὰ κρυπτὰ ἐπιστάμενος ἐγίνωσκεν ὅτι μετανοήσαντες οὐ γνησίαν ἐποιοῦντο μετά- νοιαν, διὰ τοῦτο ἐκεῖ οὐκ ἐγένοντο αἱ δυνάμεις. Καὶ ἔστιν περὶ αὐτῶν οἰκεῖον εἰπεῖν· κρεῖσσον γὰρ αὐτοῖς μὴ ἐπεγνωσκέναι τὴν ἀλήθειαν ἢ ἐπιγνοῦσιν ἀνακᾶμψαι εἰς τὰ ὀπίσω. Οὕτως οὐ πεποίηκεν Τύρῳ καὶ Σιδόνι τὰ παράδοξα· ἔμελλεν γὰρ αὐτοῖς εὐμετάπτωτος εἶναι ἡ μετάνοια. Ἐπειδὴ δὲ οὗτοι παρ' οἷς ἐγένοντο <τὸ> κίνη<μα> οὐ<κ> εἶχον ψυχῆς γνωριζόμενον τῷ κριτῇ, ὅπερ ἔχρῃζεν τῆς τῶν σημείων ἐπιδείξεως, διὰ τοῦτο 233 ἐποίησεν, ἵνα οὗτοι μὲν ἀναπολόγητοι ὦσιν, ἐκεῖνοι δὲ μὴ πλέον βλάβωσιν ἀκαίρως τινὸς ἀξιούμενοι. Εἰ δὲ καὶ τοῦτο ὑπερβολικῶς εἴρηται πρὸς τοῦ Σωτῆρος πρὸς ἐντροπὴν τῶν θεασαμένων τὰ σημεῖα καὶ μὴ μετανοησάντων, –καὶ γὰρ οὗτος ὁ τρόπος διδασκαλικὸς ὑπάρχει, –συνεπι- σκέψαι. Ἡ μακροθυμία οὖν καὶ ἀγαθότης τοῦ κριτοῦ δείκνυται τῷ ἀπεκδέχεσθαι τὴν ἀναπλήρωσιν τῶν ἁμαρτιῶν τῶν Ἀμορραίων, μετὰ τὸ ἐλέγξαι καὶ προτρέψασθαι καὶ ὅσα συντελεῖ μετάγνωσιν ἐπάγοντος τοῦ Θεοῦ τὴν κόλασιν, καθὰ καὶ τῷ Φαραὼ γεγένηται· πολλάκις γὰρ ἐπιτι- μώμενος καὶ συγχωρήσεως ἀξιούμενος ἐπήγαγεν ἑαυτῷ διὰ τὴν σκληροκαρδίαν ἑαυτοῦ καὶ τὴν τελευταίαν κατάκρισιν. χη, 17. Ἐπεὶ δὲ ἐγένετο ὁ ἥλιος πρὸς δυσμαῖς, φλὸξ ἐγένετο, καὶ ἰδοὺ κλίβανος καπνιζόμενος καὶ λαμπάδες πυρός, αἳ διῆλθον ἀνάμεσον τῶν διχοτομημάτων τούτων. Τὸ σαφὲς τοῦ ῥητοῦ οὕτως ἂν παρασταίη. Περὶ δυσμὰς τοῦ ἡλίου ἤδη χωροῦντος "6φλὸξ ἐγένετο"6 καὶ "6κλίβανος καπνιζόμενος"6 ἐφαίνετο "6καὶ λαμπάδες πυρός, αἳ διῆλθον ἀνάμεσον τῶν διχοτομημάτων"6, ἀμφο- τέραι καίουσαι καὶ φωτίζουσαι τὸν τόπον πρὸς τὸ ὁρᾶν τὸν πατριάρχην τὰ γινόμενα καὶ σύμβολα ἐπιδεικνύναι θειότερον, ἅπερ ἀναγκαῖον διερευνήσασθαι. Καὶ τοῦτο δὲ σημειωτέον, ὅτι οὐ νῦν μόνον διαθήκης γινομένης πῦρ ἐφάνη, ἀλλὰ καὶ διὰ Μωσέως ὁ νόμος ἐπὶ πυρὶ δίδοται· ἑώρων γὰρ τὸ πῦρ, τὸν λαλοῦντα οὐ θεωροῦντες ἤκουον τὰ νομοθετηθέντα. Ἃ δὲ ᾐνίττετο διὰ τούτων εἴη ἂν τοιαῦτα. Ἐπεὶ ὁ νόμος ἆθλα καὶ ἐπίτιμα ἔχει, ἐμμέσῳ τοῦ πυρὸς δοθεὶς ἐδήλου ὅτι τοῖς μὲν καῦσιν ἐπιφέρει, τοῖς δὲ φωτισμόν. Διττὴν γὰρ ἔχει δύναμιν τὸ πῦρ, φωτίζον ἅμα καὶ καῖον· ὁ δοθεὶς οὖν νόμος τοὺς μὲν λιποτάκτας αὐτοῦ καίει, τοὺς δὲ φύλακας αὐτοῦ φωτίζει. Οὕτω καὶ ἐνταῦθα λαμπάδες καὶ καπνὸς ἐφαίνοντο· ἔστι δὲ ὁ καπνὸς ἀπο- 234 τέλεσμα καὶ ὡς παρακολούθημα πυρὸς ἐξαφθέντος, ἀλλὰ καὶ φλὸξ προτέρα ἐγίνετο. Λέγομεν οὖν ὡς ἐν τοιαύτῃ δυσχωρίᾳ τῷ διαιροῦντι τὰ πρακτέα καὶ μὴ φωτισμοῦ δεῖ τοῦ ἀπὸ τοῦ Θεοῦ καὶ φόβου, ὅσπερ διὰ τοῦ κλιβάνου δηλοῦται, ἵνα ἅπαντα κατὰ τὸν ὀρθὸν ἐπιτελῆται λόγον. χη, 18–19. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ διέθετο Κύριος ὁ Θεὸς τῷ Ἀβρὰμ διαθήκην λέγων· Τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην ἀπὸ τοῦ ποταμοῦ Αἰγύπτου ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου ποταμοῦ Εὐφράτου, τοὺς Καιναίους, καὶ τὰ ἑξῆς. Τῶν λαμπάδων διελθουσῶν τὰ διχοτομήματα, ἐβεβαιοῦτο ἡ διαθήκη, λέγοντος τοῦ Θεοῦ· "6Τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην"6, διαγράφει δὲ καὶ τὸ διάστημα τῆς γῆς. Δεῖ δὲ κατὰ τὰ προαποδοθέντα ἀνάγοντα γῆν ἐννοεῖν τῷ σπέρματι διδομένην τῷ κατὰ πνεῦμα τοῦ ἁγίου. <Ταύ>την καὶ ὁ Σωτὴρ τοῖς πραότητα κατορθώσασιν κατεπαγγέλλεται. Αὕτη πρέπουσα ἐπαγγελία τοῖς τέκνοις τοῖς ἀληθέσι καὶ οὐ τοῖς ἐκ διαδοχῆς πᾶσιν· "6Οὐ"6 γὰρ "6τὰ τέκνα τῆς σαρκὸς ταῦτα τέκνα τοῦ Θεοῦ, ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα"6· ὁ γὰρ ποιῶν αὐτοῦ τὰ ἔργα τέκνον αὐτοῦ ἐστιν. Εὖ δὲ καὶ τὸ "6ἀπὸ τοῦ ποταμοῦ ἕως τοῦ ποταμοῦ"6· ἡ γὰρ πρέπουσα ἐπαγγελία τῷ σπέρματι τοῦ ἁγίου ἡ ἀρετή ἐστιν, ἥτις μέση τῶν ῥευστῶν πραγμάτων ἐστίν, οὐκ ὄντων αὐτῆς μερῶν τῶν ῥευστῶν πραγμάτων, ἀλλ' ὅρων αὐτῶν· ἔξω



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γάρ τις εἰ γίνοιτο ἀρετῆς, ταῦτα αὐτῷ εὐθὺς προαπαντᾷ. Εἰ δὲ καὶ διὰ τὸ ἐπικεῖσθαι πειρασμοὺς τῷ ἐναρέτῳ τοῦτο εἴ̩ρ̩ηται, ἐπιστήσ̣εις, μέσου αὐτοῦ ὄντος τῶν θλιβόντων καὶ ὑπερνικῶντος.

χηι, 1–2. Σάρα δὲ ἡ γυνὴ Ἀβρὰμ οὐκ ἔτικτεν αὐτῷ. Ἦν δὲ αὐτῇ παιδίσκη Αἰγυπτι΄α, ᾗ ὄνομα Ἁγάρ. Εἶπεν δὲ Σάρα πρὸς Ἀβράμ· Ἰδοὺ δὴ συνέκλεισέν με Κύριος τοῦ μὴ τίκτειν· εἴσελθε οὖν πρὸς τὴν παιδίσκην μου, ἵνα τεκνοποιήσω ἐξ αὐτῆς. Ὑπήκουσεν δὲ Ἀβρὰμ τῆς φωνῆς Σάρας. Ἀνήγαγεν τ̣α̣ύτας ἀπόστολος εἰς τὰς δύο διαθήκας 235 ἀλληγορίας νόμῳ· ἐπειδὴ δὲ καὶ τὸ ῥητὸν γεγένηται, καὶ αὐτὸ ἄξιον θεωρῆσαι. Οἱ ἅγιοι οὕτως συνεβίουν ὡς μὴ ἡδονὰς θηρᾶν ἀλλὰ τέκνων χάριν. Καὶ γὰρ παράδοσις τοιαύτη περὶ αὐτῶν φέρεται, ὅτι τότε μόνον συνῄεσαν ταῖς γυναιξίν, ὅτε καιρὸν εἶχον συλλήμψεως· οὔτε δὲ θηλαζούσῃ οὔτε τρεφούσῃ τὸ βρέφος συνῄ̣ε̣σ̣αν οὔτε̣ κυοφο- ρούσῃ· ἐν οὐδενὶ γὰρ τ̣ο̣υ̣΄των τῶν καιρῶν οἰκείαν ἡγοῦντο τὴν σύνοδον. Βεβαιοῖ δὲ καὶ ὁ Ἰακὼβ τὴν παράδοσιν· ἐν γὰρ πολλῷ χρόνῳ δοκιμάσας ὅτι οὐκ ἐπεδέχετο ἡ Ῥαχὴλ τεκνῶσαι, οὐκέτι προσῄει αὐτῇ· ἐκείνης δ' οἰομένης ὅτι, ἐὰν προσέλθῃ αὐτῇ, τεκνοῖ, ἔλεγεν· "6Ἢ δός μοι τέκνα, εἰ δὲ μή, ἀπόκτεινόν με σύ"6. Μὴ γὰρ οὐκ ᾔδει ὅτι οὐκ ἦν πλάστης ὁ Ἰακώβ, ἀλλὰ σύνοδον ἀπῄτει ὡς τοῦ ἁγίου παυσαμένου διὰ τὴν εἰρημένην αἰτίαν, ἵνα μὴ ματαιουργῇ. Ὃς δὲ πρὸς αὐτήν· "6Μὴ ἀντὶ Θεοῦ σοι ἐγώ εἰμι, ὃς ἐστέρησέ <σε> καρπὸν κοιλίας;"6 Καὶ ἡ Σάρα οὖν, σοφὴ καὶ ἁγία οὖσα, πολλῷ χρόνῳ εἰδυῖα ὅτι συνευναζομένη οὐκ ἔλαβεν κατὰ γαστρός, ἀπέσχετο τῆς πρὸς αὐτὸν κοινωνίας καί, ἐπειδὴ ἐγίγνωσκεν ἀκόλουθον εἶναι ἔχειν ἐκεῖνον τέκνα, τὴν παιδίσκην ἑαυτῆς ἔδωκεν αὐτῷ εἰς γυναῖκα παλλακίδα. Σωφροσύνη ἅμα καὶ ἀφθονία τῆς Σάρας καὶ τοῦ Ἀβρὰμ <δείκνυται> ἀπάθεια το<ῦ> πρὸς τῆς γυναικὸς καὶ οὐκ ἀπὸ ἰδίας ὁρμῆς ἑλομένου τοῦτο ἀλλ' εἴκοντος διὰ τέκνων γένεσιν. Χρήσιμον μὲν οὖν καὶ τὸ ῥητόν, καθὰ διεξεληλύθαμεν. Ὁ δὲ τῆς ἀναγωγῆς λόγος οὕτως ἂν ἐξομαλισθείη, ὡς τύπῳ ὁ μακάριος Παῦλος εἰς τὰς δύο διαθήκας ἀνήγαγεν τὰς δύο γυναῖκας· τούτῳ καὶ Φίλων χρώμενος ἐν ἑτέροις πράγμασιν ἀνήγαγεν τὴν μὲν Σάραν εἰς τὴν τελείαν ἀρετὴν καὶ φιλοσοφίαν, αὐτὴν οὖσαν γαμετὴν ἐλευθέραν τε καὶ εὐγενίδα καὶ κ̣ατὰ νόμους σύνοικον· συνοικεῖ δὲ ἡ 236 ἀρετὴ τῷ σοφῷ κατὰ νόμους, ἵνα θεῖα γεννήματα ἐξ αὐτῆς ἀπογεννήσῃ· "6Ἡ σοφία"6 γὰρ "6τίκτει ἀνδρὶ φρόνησιν"6, καὶ πρὸς τὸν εὐλαβῆ καὶ ὅσιον λέγεται· "6Ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ***, οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου. Οὕτως εὐλογη- θήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον"6. Εἰς μὲν οὖν τὴν τελείαν ἀρετὴν καὶ πνευματικὴν ἡ Σάρα ἀνάγεται, ἡ δὲ Ἁγὰρ ἡ παιδίσκη ἡ Αἰγυπτία παρὰ μὲν Φίλωνος τὰ προγυμνάσματα σημαίνειν εἴρηται, παρὰ δὲ Παύλῳ τὴν σκιάν. Ἀδύνατον γάρ τι τῶν πνευματικῶν ἢ ὑψηλῶν νοημάτων χωρὶς τῆς κατὰ τ̣ὸ̣ γρα̣΄μ̣μα σκιᾶς ἢ τῶν εἰσαγωγικῶν προπαιδεύσεω̣ς κ̣α̣τ̣αλαβεῖν· δεῖ γὰρ ἐκ τῶν ὑποδεεστέρων πρότερον τεκ̣ν̣ο̣ῦ̣ν̣. Κατὰ γοῦν τὴν σκιὰν ἐβουθύτουν, πάσχα ἐπετέλουν αἰσ̣θ̣η̣τῶς καὶ περιετέμνοντο σωματικῶς, διὰ τούτων χειραγωγούμενοι ἐπὶ τὸ θύειν "6τῷ Θεῷ θυσίαν αἰνέσεως"6, ὅπερ ἐστὶν τῆς ἐλευθέρας ἴδιον. Ἐπεὶ οὖν σπουδὴ τῷ σοφῷ τάξει χωρεῖν ἐπὶ τὰ μείζονα, ὑποβάλλει ἡ ἀρετὴ σκοπῷ θείῳ τοῖς εἰσαγωγικοῖς πρότερον χρῆσθαι καὶ ἐξ αὐτῶν τεκνοποιεῖν. Ἐπεὶ γὰρ ἄρτι προσιὼν τῇ ἀρετῇ τελειότητος ἐφάψασθαι οὐχ οἷός τέ ἐστιν ὥστε καὶ ἐξ αὐτῆς τεκνῶσαι, ὑποτίθεται αὐτῷ πρότερον ἐγγυμνάσασθαι τοῖς προπαι- δεύμασιν, ἵν' οὕτω καὶ αὐτὴν τελείως χωρῇ, εἰ δυνηθῇ. χηι, 3–4. Καὶ λαβοῦσα Σάρα ἡ γυνὴ Ἀβρὰμ Ἁγὰρ τὴν Αἰγυπτίαν τὴν ἑαυτῆς παιδίσκην μετὰ δέκα ἔτη τοῦ οἰκῆσαι μετὰ Ἀβρὰμ ἐν γῇ Χαναὰν καὶ ἔδωκεν αὐτὴν Ἀβρὰμ τῷ ἀνδρὶ αὐτῆς αὐτῷ γυναῖκα, καὶ εἰσῆλθεν πρὸς Ἁγάρ, καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συνέλαβεν. Καθὰ προείρηται, σωφροσύνης δεῖγμα ἀκριβέστατον ἐκφέρει ἡ Σάρα ἀφθόνως προσενεχθεῖσα πρὸς <Ἀβρὰμ> τὴν ἑαυτῆς παιδίσκην συνεωρακυῖα ὅτι μετὰ δέκα ἔτη οὐ συνείληφεν, καὶ τοῦ σοφοῦ δὲ τὸ ἀπαθὲς ὅτι σκοπῷ παιδοποιεῖ ὡς εἴκει τῇ γαμετῇ. Τὰ δὲ τῆς ἀναγωγῆς ἤδη προείρηται, ὅτι κατὰ τὸν 237 σκοπὸν τῆς ἀρετῆς ἐστιν [τὸ] ὑποβάλλειν πρότερον τοῖς εἰσαγωγικοῖς κεχρῆσθαι, ἵν' [ἐξ] αὐτῶν πρότερον τεκνο- ποιήσῃ· οὐδὲν δ' ἧττον καὶ τὰ ἐκ τῆς προπαιδεύσεως τέκνα τῆς ἀρετῆς εἰσιν διὰ τὸ σκοπῷ τῷ πρὸς αὐτὴν αὐτὰ πεποιηκέναι. Χρησάμενος οὖν τούτοις θᾶττον τὴν σύλλημψιν εἰργάσατο· ἑτοιμοτάτη γὰρ τῷ σοφῷ ἡ προκοπή. χηι, 4. Καὶ εἶδεν ὅτι ἐν γαστρὶ ἔχει, καὶ ἠτιμάσθη ἡ κυρία ἐναντίον αὐτῆς. *** ὁ σκοπός, ὡς προείρηται, προγυμνασθῆναι τὸν σοφὸν ἐν τῇ προπαιδεύσει καὶ τῇ σκιᾷ, ἵνα ἐν τούτοις γυμνασθεὶς χωρήσῃ ἐπὶ τὰ μείζονα· ὡς γὰρ πρέπουσα τάξις ἡ τ̣ο̣ι̣α̣ύ̣τ̣η̣, οὕτως οὐκ ἀκολούθως ἡ μετὰ τὴν τῶν τελείων γνῶσ̣ι̣ν̣ ε̣ἰ̣ς̣ τ̣ὰ̣ μικρὰ ὑποστροφή. Ἀμέλει γοῦν ὁ ἀπόστολος Γαλάταις, γράφε̣ι̣ θέλουσιν μετὰ τὸ εὐαγγέλιον τῇ σκιᾷ τοῦ νόμου συζῆν. Οὐ̣ γὰρ Ἰουδαῖοι, οἱ σύντροφον ἔχοντες τὴν σκιάν, Γαλᾶται δέ, μετὰ τὸ πιστεῦσαι τῷ εὐαγγελίῳ ἤθελον ἰουδαΐζειν ἀπατηθέντες ὑπὸ Ἐβίωνός τινος ἰουδαΐζειν μετὰ τοῦ χριστιανίζειν θέλοντος καὶ τοὺς ἄλλους οὕτω πείθοντος, ὡς τὴν τοῦ ὀνόματος τούτου ἐπωνυμίαν πρὸς τῶν ἀποστόλων ἔσχεν διὰ τὸ δηλοῦσθαι ὑπ' αὐτοῦ τὴν πτωχείαν· πτωχὸς γὰρ ἑρμηνεύεται Ἐβίων, διὰ τὸ σαθρὸν ἑαυτοῦ καὶ πτωχὸν τῆς διανοίας Ἐβίων καλούμενος· ὅτι δὲ Ἕλληνες ἦσαν Γαλᾶται, γράφει Παῦλος· "6Ἀλλὰ τότε μὲν οὐκ εἰδότες Θεὸν ἐδουλεύετε τοῖς φύσει μὴ οὖσ̣ι̣ν̣ θ̣εοῖς, νῦν δὲ γνόντες Θεόν, μᾶλλον δὲ γνωσθέντες ὑ̣πὸ τοῦ Θεοῦ"6. Αἰτιᾶται οὖν αὐτούς, ὡς προεῖπον· δεῖ γὰρ ἀποδοῦναι τὴν ὑπόσχεσιν γραφῶν· "6Ἐναρξάμενοι πνεύματος νῦν σαρκὶ ἐπιτελεῖσθε"6· ἅπαξ γὰρ ἀρχὴν θείαν καταβεβλημένοι οὐ προσηκόντως τοὺς τύπους ἐζήτουν, ἀκαίρως γοῦν ἐπιζητοῦντες. Δεῖ γὰρ νοῆσαι τὴν αἰσθητὴν περιτομὴν διὰ τί δέδοται καὶ μέχρι 238 ποίου καιροῦ ὀφείλει πολιτεύεσθαι· ἐὰ̣ν γὰ̣ρ τοῦτο νοήσῃ τις, ἐτέκνωσεν ἐκ τῆς παλλακίδος καὶ μ̣ε̣τὰ τοῦτο δύναται νοῆσαι τὴν ἐν καρδίᾳ περιτομὴν π̣ν̣εύ̣μ̣α̣τ̣ι̣ γινομένην. Καὶ οὗτος ὁ ἅγιος καθ' ὑφήγησιν τῆς ἀρετῆς εἰ̣σ̣ῆ̣λθεν πρὸς ἣν ἐνεχείρισεν αὐτῷ θεραπαινίδα, ὡς ἀποδεδώκαμεν, ἣ καὶ συνέλαβεν, πρὸς ἣν οὐκ εἶτα μένε̣ι̣ν προσ̣ή̣κει ὑπερβαί- νοντα τὸ χρειῶδες. Πολλοὶ γὰρ ἕνεκα τῆς τελείας π̣α̣ι̣δ̣εύσεως χρησάμενοι προγυμνάσμασιν αὐτοῖς ἐναπομ̣ε̣ί̣ναντες δου- λοπρεπῆ γεννῶσιν καὶ τρόπον τινὰ ἀτιμάζουσιν τὴν ἀρετήν. Ταῦτα δὲ οὐ δεῖ εἰς τὸ πρόσωπον τοῦ Ἀβρὰ̣μ ἀναφέρειν ἀλλ' εἰς τὸν τρόπον τὸν τοιοῦτον καὶ̣ τ̣οὺς τ̣ούτ̣ῳ̣ τῷ εἴ̣δει χρωμένους. Εἰ δ' ὅτι ἔφαμεν τὴν ἀρετὴν ··· ··ειν τὴν ὑποτιθεμένην τὰ τῆς εἰσαγωγῆς, λέγοι τις ὅτι τρόπον τινὰ αὐτῆς ἐστι τὰ γεννήματα καὶ πρώτη τῇ ἀρετῇ σ̣υ̣νοικεῖ ὁ τοιοῦτος, –κατὰ γὰρ τὰς αὐτῆς ὑποθήκας ἐνεργεῖτ̣α̣ι̣ ὁ ὑποκείμενος αὐτῇ, –λεκτέον οὖν ὅτι τῶν ἐν χρόνῳ γινο̣μ̣έ̣ν̣ω̣ν τὰ μὲν πρότερά τινός ἐστιν, τὰ δ' ὕστερα, ἐσθότε δὲ σ̣ύ̣γχρ̣ο̣ν̣α̣, ἀλλὰ τῶν ἅμα ὑπαρχόντων τὸ <μὲν> προυπάρχειν, τὸ δ' ἕπ̣εσ̣θ̣α̣ι̣ ἐ̣π̣ινοίᾳ λαμβάνομεν ὡς ἐπὶ τῶν φύσει αἰτιῶν· ἡ ἀρετὴ γο̣ῦ̣ν̣ α̣ἰ̣τ̣ί̣α̣ ἐστὶν πάντων τῶν δι' αὐτὴν γινομένων· διόπερ, κἂν χρ̣ό̣ν̣ῳ̣ τ̣α̣ῦ̣τα προήγηται, ἀλλ' αὐτή γε τῇ φύσει προτέρα ἐστὶν ὡς γά̣μ̣ος ὑ̣π̣ά̣ρχει πρότερον ἢ παιδοποιΐα· διὰ γὰρ ταῦτα ὁ γάμος ··· ··· ··· · τ̣ῆς ἀρετῆς. Καὶ ἐπὶ τῶν ἄλλων δὲ ἐπιστημῶν τὸ αυ̣···· τ̣ι ··· ··· · Ἀτιμάζει οὖν τὴν ἀρετὴν ὁ ἕτερα προκ̣ρ̣ίν̣ων αὐτῆ̣ς· εἰ γάρ τις αὐτὴν αἱροῖτο μὴ δι' αὐτὴν ἀλλ' ἄλλου χάριν ο̣ἷ̣ο̣ν̣ ἐπαίνου ἢ δόξης, τρόπον τινὰ ἀτιμάζει τὸ ἀγαθόν, αὐτὸ καθ' ἑ̣α̣υ̣τ̣ὸ ἀτιμίαν οὐ δεχόμενον. Πρόσ<σ>χες δὲ ὅτι οὐδὲ εἴρηται ἠτίμασ̣ε̣ν̣ αὐτὴν 239 Ἀβράμ, –οὐδὲ γὰρ ἁρμόνιον ἐπ' αὐτοῦ τοῦτο–· ἀλλ' ἐπεὶ τ̣ο̣ῦ̣το ἐνδέχεται παρά τινων γενέσθαι ἀσφαλι- ζόμενον τὸ λόγιο̣ν̣ ἐπεσημήνατο αἰνιττόμενον ὅτι οὐ πρέπει τὴν ἀρετὴν ἀτιμάζοντα καταμένε̣ι̣ν̣ ἐν τοῖς πρὸ αὐτῆς *** 240 χηι, 5. Εἶπεν δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Σάρα· Ἀδικοῦμαι ἐκ σοῦ· ἐγὼ ἔδωκα τὴν παιδίσκηṇ ṃọụ εἰς τὸν κόλπον σου· ἰδοῦσα δὲ ὅτι ἐν γαστρὶ ἔχει ἠτιμάσθην ἐναṇτίον αὐτῆς· κρίναι ὁ Θεὸς ἀνάμεσον ἐμοῦ καὶ σοῦ. Τὸ "6ἐκ σοῦ"6 διττόν, ἤτοι "3ἀπὸ σοῦ"3 ἢ "3ἀφ' οὗ"3, ἵν' ᾖ ἐπὶ μὲν τοῦ "3ἀπὸ σοῦ"3 οὑ̓ṭọς· ὅταν τις τῆς ἀρετῆς χάριν καὶ τῆς τελείας σοφίας προπαιδεύμạσιν ἐθέλων χρῆσθαι καταμένῃ ἐν τούτοις τρόπον τινὰ ἀδιḳẹῖ τὴν ἀρετὴν οὐκ εἰς τὸ δέον τοῖς πρὸ αὐτῆς κεχρημένος, καὶ τὸ "3ạ̓φ' οὗ"3 δὲ τὴν αὐτὴν δέξεται διάνοιαν, μόνης διαφορᾶς τῆς προει- ρημένης τυγχανούσης, ὅ<τι> καὶ τῷ ὄντι ἀτιμάζει τὴν ἀρετὴν ὁ τεκνῶσαι ἐκ τῆς εἰσαγωγῆς μόνης σπεύδων καὶ τοῦτο τέλος τιθέμενος. Πρόσ<σ>χες δὲ καὶ τῷ "6ἐναντίον αὐτῆς"6· οὐ γὰρ ἁπλῶς ἠτιμάσθη ἡ ἀρετὴ ἀλλ' "6ἐναντίον αὐτῆς"6· ὅτε γάρ τις τοῖς προπαιδεύμασιν κεχρημένος διὰ τὴν τελείαν σοφίαν ἔξω τῆς χρείας γίνεται, ἀτιμάζει ἐν αὑτῷ τὴν ἀρετήν. Τὸ δὲ "6κρίναι ὁ Θεὸς ἀνάμεσον ἐμοῦ καὶ σοῦ"6 εἴποι μὲν ἄν τις κατὰ τὸ ῥητὸν ὡς ἀπὸ ἀνθρω- πίνου τινὸς κινήματος ἐγγεγενημένου ἐν αὐτῇ εἰρῆσθαι, πρὸς δὲ διάνοιαν ἑποṃẹ́νως τοῖς φθάσασιν λεχθείη πρὸς τὸν καταμείναντα τῷ εἰσαγωγịḳῷ χαρακτῆρι, ὅτι οὐ 241 παρ' ἐμὲ οὐκ ἐτέκνωσας τὰ τέλεια ạ̓λλὰ παρạ̀ τὸ ἔτι ἐν ἐκείνοις παραμένειν. χηι, 6. Εἶπεν δὲ Ἀβρὰμ πρὸς <Σ>άραν· Ἰδοὺ ἡ παιδίσκη σου ἐν ταῖς χερσίν σου· χρῶ αὐτῇ ὡς ἄν σοι ἀρεστὸν ᾖ. Ἀπάθειαν μὲν ὡς πρὸς τὸ ῥητὸν εἰσάγει ὁ λόγος τοῦ πατριάρχου καὶ παρὰ τῆς γυναικὸς τὴν παιδίσκην δεξα- μένου οὐχ ἡδονὴν θηρῶντος καὶ νῦν εἴκοντος αὐτῇ καὶ ἀφισταμένου ὅτε καὶ βούλεται· πρὸς δὲ ἀναγωγὴν ὁ σπουδαῖος, κἂν τῇ εἰσαγωγῇ καταμένῃ, καὶ ṃὴ τέλεον τῆς ἀρετῆς ἀλλοτριωθεὶς δέχεται ἀσμένως τὸν παρὰ ταύτης ἔλεγχον καὶ θᾶττον μεταστὰς ἀπὸ τῶν μικρῶν ὥσπερ ὑποτάττων ἑαυτὸν αὐτῇ κατὰ τὰς ἐκείνης ὑφηγή- σεις χρῆται τοῖς προγυμνάσμασιν ἐκείνῃ τὸ κῦρος ἀνάπτων. Ἅτε γὰρ πρὸς τὸν τῆς ἀρετῆς σκοπὸν ἅπαντα καὶ λέγειν καὶ πράττειν καὶ διανοεῖσθαι προθυμούμενος τὰς παρ' ἐκείνης διορθώσεις ἑτοιμότατα δέχεται. χηι, 6. Καὶ ἐκάκωσεν αὐτὴν Σάρα καὶ ἀπέδρα ἀπὸ προσώπου αὐτῆς. Κάκωσις τῆς παιδίσκης, ἣν ἀνήγομεν εἰς τὰ προ- γυμνάσματα, τυγχάνει, ἣ τρόπον τινὰ κατάργησίς ἐστιν αὐτῶν. Τούτων γὰρ ὁ ἐπὶ τ[ὴ]ṿ τελειότητα ἐπειγόμενος οὐκέτι δέεται. Διά τοι τοῦτο εἰκọ́τως ἀποδιδράσκει· οὐ γὰρ ἔτι ὑπομένει τὰ εἰσαγωγικὰ προ[κο]πῆς ἐγγενομένης καὶ τελειότητος. χηι, 7–8. Εὗρεν δὲ αὐτὴν ἄγγελος Κυρίου τοῦ Θεοῦ ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος ἐν τῇ ἐρήμῳ ἐπὶ τῆς πηγῆς ἐν τῇ ὁδῷ Σούρ. Καὶ εἶπεν αὐτῇ ὁ ἄγγελος Κυρίου· Ἁγὰρ παιδίσκη Σάρας, πόθεν ἔρχῃ καὶ ποῦ πορεύῃ; Καὶ εἶπεν· Ἀπὸ προσώπου Σάρας τῆς κυρίας μου ἐγὼ ἀποδιδράσκω. Ἐκ τούτων ἔστιν καὶ τὴν ἀρετὴν τῆς Ἁγὰρ συνιδεῖν καὶ γνῶναι ὡς οὐκ εὐκαταφρόνητος αὐτή, ἀγγέλου αὐτῇ συνομιλοῦντος καὶ τιθεμένου τὴν περὶ αὐτῆς κηδεμονίαν 242 οὐκ ἐν παρέργῳ· δῆλον γὰρ ὡς ḳạτạ̀ Θεοῦ βούλησιν ⋯ ⋯ ⋯ ⋯ ⋯ ⋯ Οὐκ ἀπεικὸς δὲ ταύτην εἶνạι σπουδαίαν ὡ̣ς ạị̔ṛẹθẹῖṣạṿ ὑπὸ Σάρạς τῆς ἁγίας εἰς ṣụṿọị́κησιν Ἀβράμ. Καὶ τὸ εὔγνωμον δẹ̀ αụ̓ṭῆς παρίσταται ἐκ τοῦ λέγειν "6ἀπὸ προσώπου Σạ́ṛạς τῆς ḳυρίας μου ἐγὼ ἀποδιδράσκω"6 οὐδὲν φαῦλον περὶ αụ̓ṭῆς ⋯ ⋯ ⋯ · απ⋯ ·θεν¨ς ἀποδιδράσκων ποιεῖν καὶ τὰ ⋯ ⋯ ¨ τατ⋯ ⋯ · ẹ̓ν τοῖς προειρημένοις ἐτίθετο εἶναι ἡ Σάρα ἡ ἀρετὴ καὶ ἡ πνευματικὴ ṭῶν γραφῶν νόησις, ἡ δὲ Ἁγὰρ ἡ εἰσαγωγικὴ καὶ σκιώδης. Ὁ προσερχόμενος τοίνυν τῇ θείạ παιδεύσẹι οὕτως αὐτῇ προσέχ̣εσθαι ὀφείλει ὡς νοῆσαι αὐτὴν κατὰ γράμμα καὶ πνεῦμα ὁδῷ καὶ τάξει χωροῦντα. Δεῖ οὖν τεκνῷ Σάρας τῆς εἰσαγωγῆς, ἵν' οὕτως ἐπὶ τὰ τελειότερα φθάσῃ καθὰ καὶ οἱ Ἰσραηλῖται περὶ ὧν εἴρηται "6ὅτι πρῶτοι ἐπιστεύθησαν τὰ λόγια τοῦ Θεοῦ"6, ἅπερ δέδονται μέχρι καιροῦ διορθώσεως. Οὐδẹὶ̀ς γạ̀ṛ καταμένων ἐν τῷ γράμματι ἢ τῇ εἰσαγωγῇ αὐτῆς σοφίας ἀντιποιούμενός ẹ̓ṣṭịṿ. Οὗτος οὖν ὁ τῆς σοφίας ἐραστὴς εἰ τοῖς εἰσαγωγικοῖς χρώμενος παραμένοι τούτοις, τρόπον τινὰ ἀτιμάζει τὴν ἀρετήν· εἰ δ' ἀνανήψοι, ἀπω- θεῖται μὲν τὴν εἰσαγωγικὴν ἀγωγὴν ὡς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀποδρᾶναι ταύτην· προκοπῆς ἐγγεγενημένης τὰ πρότερα παρέρχεται, ἅπερ ἦν τῆς αἰγυπτίας Ἁγάρ· ἀπὸ γὰρ τῶν γηΐνων παραδειγμάτων τὰ τῆς εἰσαγωγῆς βεβαιοῦται. Φεύγει οὖν αὕτη καὶ φεύγουσαν αὐτὴν ἄγγελος εὑρίσκει· οὐ γὰρ ἀφάνης γίνεται ἄγγελος ··· ··· ··· τ̣ο̣υ̣῀τ̣ο γὰρ ἡ προσθήκη τοῦ "6Κυρίου"6 σημαίνει. Εἴρηνται ··· ··· ··· π̣ονηροὶ καθὸ λέγεται· "6Ἀποστολὴν δι' ἀγγέλω̣ν̣ π̣ο̣ν̣η- ρ̣ω̣῀ν̣ ··· ··· ··· ἀγγέλους κρινοῦμεν"6. Ὁ ἄγγελος ο̣ὐ̣῀ν ε̣ὑ̣ρω̣`ν̣ αὐ̣τ̣η`ν φεύγουσαν διὰ τὸ τῆς 243 ἀρετῆς μέγεθος ἐπισ[τρέ]φει· ὁ γὰρ διδασκαλικὸς λόγος καὶ τὰ τῆς εἰσαγωγῆς μαθ[ήμ]ατα ἐπιστρέφει πρὸς τὴν ἀρετήν. Εὖ δὲ καὶ τὸ ἐν ἐρήμῳ καὶ ἐπὶ τῆς πηγῆς αὐτὴν λέγειν ηὑρῆσθαι ἐν τῇ ὁδῷ Σου̣΄ρ, ἥτις ἑρμηνεύεται συνοχή· οὐ γὰρ ἔξω τοῦ οἴκου ἐγεγόνει φεύγουσα οὐδὲ τάχει α···να αποστ····ν εκ̣ει··· ·ως δήπ̣οτε καὶ τῶν εἰσαγωγῶν τῆς ἀρετῆς ἀρξαμεν·· Οὐκ ἔξω οὖν τοῦ περιβόλου γίνεται οτ··· ··· κα[··· ··] τῇ εἰσαγωγῇ καταμένῃ· διὸ καὶ ἐπιστρέφει ὁ διδασκα[λικ]ὸς λόγος τὸν τοιοῦτον ὑποδεικνὺς αὐτῷ τὸ ει̣΄κ̣αῖον τῆς παραμονῆς διὰ τοῦ λέγειν· "6Πόθεν ἔρχῃ καὶ ποῦ πορεύῃ;"6 Πρέπει γὰρ καὶ τὰς ἀρχὰς καὶ τὸν σκοπὸν εἰδέναι τὸν ἐνάρετον· ὁ δὲ χρώμενος τῇ εἰσαγωγῇ πολλάκις τὸ μέγεθος τῆς ἀρετῆς προφασι- ζόμενος καταμένει ἐν αὐτῇ τρόπον τινὰ διαφεύγων τὸν τόνον τῆς τελειότητος· τοῦτο γὰρ δηλοῦται διὰ τοῦ "6Ἀπὸ προσώπου Σάρα̣ς τῆς κυρίας μου ἐγὼ ἀποδι- δράσκω"6. Ἀλλὰ καὶ τοῦ κάλλους τοῦ πνευματικοῦ νόμου ἐνστάν- τος φεύγει τὰ σκιώδη, φωτεινῶν θυσιῶν παρ̣ὰ τὰς ὑπὸ τῆς σκιᾶς παραδιδομένων κ̣αὶ εἰσαχθεισῶν· οὕτω καὶ τὸ ἐκ μέρους καταργεῖται ἐνστάντος τοῦ τελείου. Ἀπεδί- δρασκεν ἀπὸ προσώπου ὁ ἀκούων πρὸς τοῦ Σωτῆρος· Δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν, καὶ λέγων· "6Πῶς δύναται ἄνθρωπος γεννηθῆναι γέρων ὤν;"6 τὸ γὰρ θεῖον ἀνθρω- πίνως ἐνόει. Καλὸν δὲ καὶ τὸ εὑρίσκεσθ̣α̣ι̣ ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος· ὁ γὰρ εἰσαγόμενος περὶ τὰ καθάρσια εὑρίσκεται, ἅπερ σημαίνει τὸ ὕδωρ, καὶ εἰς ἔρημον τω̣῀ν̣ κακῶν ὁ τοιοῦτός ἐστιν κακίας ἀπηλλαγμένος καὶ ἐχο̣΄μενος ἀρετῆς. 244 χηι, 9. Εἶπεν δὲ αὐτῇ ὁ ἄγγελος Κυρίου· Ἀποστρά- φητι πρὸς τὴν [κυ]ρίαν σου καὶ ταπεινώθητι ὑπὸ τὰς χεῖρας αὐτῆς. Τὸ μὲν ῥητὸν οὐκ ἀσαφές· δείκνυται δὲ ἐκ τῆς ἀλληγο- ρίας ὅτι, κἂν ὑπό τινος εἰκαίας πράξεως ἄγῃ ἕκαστος, ἧς οἰήθῃ εἶναι τῶν τὴν σκιὰν τοῦ νόμου περιεπόντων, καὶ ὥσπερ ἀποφεύγῃ τὴν πνευματικὴν θεωρίαν, ὑποστρέφει τὸν τοιοῦτον ὁ διδασκαλικὸς λόγος εἰς τὸ προηγούμενον βούλημα τ̣ο̣[ῦ ···]υ· Καὶ γὰρ Κύριος τὰ ἐν τοῖς γράμμασιν τῆς σκιᾶς ἠρέμα ὑπέβαλλε̣[ν] ἀφίστασθαι αὐτῆς διὰ τοῦ λέγειν· "6Τί μοι πλῆθος τῶν θυσιῶν ὑμ̣ω̣῀ν;"6 καὶ "6Μὴ φάγομαι κρέας ταύρων καὶ αἷμα τράγων πίομαι; Θῦσ̣ο̣ν̣ τῷ Θεῷ θυσίαν αἰνέσεως καὶ ἀπόδος τῷ Ὑψίστῳ τὰς εὐχάς σου"6. Μέγα οὖν τὸ ὑπὸ τὰς χεῖρας τῆς πνευματικῆς διδασ- καλίας κυριασόνομαζομένης εὑρίσκεσθαι καὶ ταπεινοῦσθαι ὑπ' αὐτὴν οὐκ οὖσαν ταπεινὴν ἀλλ' ὡς πρὸς τὴν κυρίαν. Καὶ γὰρ οὐ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέρει ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης. χηι, 10. Καὶ εἶπεν αὐτῇ ὁ ἄγγελος Κυρίου· Πληθύνων πληθυνῶ τὸ σπέρμα σου καὶ οὐκ ἀριθμηθήσεται ἀπὸ τοῦ πλήθους. Οὐκ ἀπιθάνως εὐλογίας ἀξιοῦται καὶ ὁ κατὰ τὴν εἰσαγωγὴν ζῶν· ἡ γὰρ τούτου προκοπὴ κατὰ τὸν προσή- κοντα σκοπὸν προΐουσα ἥξει ἐπὶ τὸ τέλειον. Παρατήρει δὲ ὅτι ἐπὶ μὲν τῆς ἀρετῆς–ἀπ' αὐτῆς γὰρ τὸ γνήσιόν ἐστι σπέρμα τοῦ Ἀβραάμ–ἐξαγαγόντος τοῦ Θεοῦ αὐτὸν ἔξω καὶ εἰπόντος· "6Ἀνάβλεψον δὴ εἰς τὸν οὐρανὸν καὶ ἀρίθμησον τοὺς ἀστέρας εἰ δυνήσῃ ἐξαριθμῆσαι αὐτούς"6, εἴρηται· "6Οὕτως ἔσται τὸ σπέρμα σου"6, ἐπὶ δὲ ταύτης οὐκ ἐλέχθη ὡς "3κατὰ τοὺς ἀστέρας ἔσται τὸ σπέρμα σου"3 ἀλλὰ μόνον· οὐκ ἀριθμήσεται ἀπὸ τοῦ πλήθους, μήποτε ἐκ ταύτης τῆς διαφορᾶς δυνήθῃς ἐπιστῆσαι ὅτι τὰ μὲν τοῦ 245 τελείου γεννήματα φωτεινὰ τυγχάνει, τὰ δὲ τῆς εἰσαγωγῆς οὐ τοιαῦτα. χηι, 11. Καὶ εἶπεν αὐτῇ ὁ ἄγγελος Κυρίου· Ἰδοὺ ἐν γαστρὶ ἔχεις καὶ τέξεις υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσμαὴλ ὅτι ἐπήκουσεν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Κύριος τῇ ταπεινώσει σου. Μέγα τι κατ̣' ἐκεῖνον τὸν χρόνον ἡ τεκνογονία ἐνομίζετο ··· ···μεν κα··· ··· ··· ·ν ἀ̣νθρώπων, τοῦτο δὲ καὶ μήπ̣ω̣ τῆς παρθενείας καὶ τῆς περὶ ἀρετῆς διδα- σκαλίας ἰσχυούσης ἐν ἀνθρώποις· δ̣ιόπ̣ερ καὶ εὐχὰς ἐπὶ τούτου ἐποιοῦντο καὶ ἐν εὐλογίας μέρει τὰ τοιαῦτα ἐλογί- ζοντο. Καὶ ταῦτα μὲν ἕνεκα τῆς ἐμφάσεως τοῦ ῥητοῦ ἐλέχθη· τὰ δὲ πρὸς διάνοιαν εἴη ἂν τοιαῦτα. "3Ὁ ἤδη ἐναρχόμενος τῆς κατὰ Θεὸν παιδεύσεως καὶ ἐν τοῖς εἰσαγωγικοῖς υ̣ἱπάρχων καθάπερ κυοφορῶν τὰ εἰς τοῦτο ορωντα·υ··· ···αμφιλος τις ὑπάρχων εἰ ὅλως απ··· ··· ··· ··· ··· ···σει ὅμως ἐπαγγελία τοῦ διδασκαλικοῦ λόγου γίνεται οὕτ̣ω ὅτι τέξεται· ἀγχινοί̣ᾳ γὰρ πολλάκις οἱ διδάσκοντες τὰς ἐπιβολὰς τῶν μαθητευομένων ἴσασιν καὶ τὰς εὐφυΐ̣̈α̣ς αὐτῶν οὐκ ἀγνοοῦσιν. Ὅτι δὲ τὸ γαστρὸς ἄδηλ̣ό̣ν̣ ἐστιν, ἔστιν ἀπὸ εὐαγγελικοῦ μαθεῖν, λέγοντος τοῦ Σωτῆρος· "6Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐκείνῃ τῇ ἡμέρᾳ̣"6. Καὶ γὰρ τοιαῦται ἕξεις ἀβέβαιοι ἐπιστάντος πειρασμοῦ. Διὰ τοῦτο λόγος τοὺς τοιούτους ἀπογαλακτίζεσθαι βουλόμενός. φησιν· "6Οἱ ἀπογεγαλακτισμένοι ἀπὸ <γαλακτός, οἱ ἀπεσπασμένοι ἀπὸ> μαστοῦ, θλῖψιν ἐπὶ θλίψει προσδέχου ἐλπίδα ἐπ' ἐλπίδι"6· ὡς γὰρ λοιπὸν ἐν βεβαιότητ̣ι̣ ἐ̣̓νστάντες θλῖψιν ἐπὶ θλίψει προσδέχονται. Ἀτελεῖς δὲ εἰσὶν π̣ερὶ ὧν λέγει Παῦλος· "6Γάλα ὑμᾶς ἐπότισα οὐ βρῶμα· οὔπω γὰρ <ἐ>δύνασθε, ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε̣"6. Κατεπαγ[γέλ]λεται οὖν αὐτῇ τέξεσθαι υἱὸν λέγων ὅτι "6καλέσεις τὸ ὄ[νο]μα αὐτοῦ Ἰσμαήλ"6. 246 χηι, 12. Οὗτος ἔσται ἄγροικος ἄνθρωπος. Κατὰ πλείονας τρόπους διαστέλλεται ἀπὸ τοῦ σπουδαίου καὶ σοφοῦ καὶ πολιτικοῦ ὁ μὴ τοιοῦτος. Λέγομεν οὖν ὡς πρὸς πολίτην καὶ ἐπιστήμονα ἰδιώτην καὶ ἄγροικον καὶ ὡς πρὸς μεμαθηκότα καὶ πεπαιδευμένον ἀμαθῆ καὶ ἀρτιμαθῆ. Ἐπεὶ τοίνυν τὸ γέννημα τῆς ἀρετῆς πολιτεία ἐστὶν νόμιμος, ὁ μὴ πολιτεί̣ᾳ κ̣α̣τὰ̣ τὴν πόλιν τοῦ Θεοῦ τοῦ ζῶντος τὴν ἐπουράνιον βιῶν ἄγροικός ἐ̣σ̣τιν, ·α·· ἐ̣λλειπόμενος ἐκείνης τῆς καταστάσεως ἀγρὸν οἰκεῖ̣ οὔπω πόλιν. Εὖ δὲ καὶ τὸ μὴ μόνον ἄγροικον ἀλλὰ καὶ ἄνθρωπον αὐτὸν εἰπεῖν· οὔπω γὰρ μετουσία Θεοῦ λόγου γίνεται τῷ νῦν ἀρχομένῳ ἀλλὰ μετὰ τὸ προκόψαι, –ἐκείνους γὰρ θεοὺς εἶπεν, πρὸς οὓς ὁ λόγος τοῦ Θεοῦ ἐγένετο, –καὶ οὕτως ἔσται πολίτης τῆς ἐπουρανίου πόλεως· περὶ γὰρ τῶν τοιούτων λέγεται πρὸς τοῦ σοφοῦ Παύλου πρὸς Ἑβρα̣ί̣̓ο̣υ̣ς τ̣α̣ῦ̣τα· Σιὼν ὄρει καὶ πόλει Θεοῦ ζῶντος Ἰερουσαλὴμ ἐπουρανίῳ, ἐν ταύτῃ ἐγγραφησόμενοι. Λέγει γοῦν ὁ Σωτήρ· "6Μὴ χαίρετε ὅτι τὰ δαιμ̣ό̣ν̣ια ὑμῖν ὑποτάσ- σεται ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν ἐγγέγραπται ἐν τοῖς οὐρανοῖς"6. Καὶ οὐδήπου δεῖ οὕτω λογίζεσθαι ὅτι τὰ ἐκ συλλαβῶν ὀνόματα ἐν τοῖς οὐρανοῖς ἐγγράφονται ἀλλὰ κατὰ τὴν ἀρετὴν ὀνόματα· ταῦτα τοῖς οὐρανοῖς ἀείμνη- στον ἔχει τὴν γραφήν. Καὶ οὗτοι μὲν ἐν οὐρανοῖς ἐγγρά- φονται, οἱ δὲ ἐναντίως διακείμενοι γήϊ̣να φρονοῦντες ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γηΐνων αὐτῶν, εἰκότως τοῦ Ἰερεμίου περὶ αὐτῶν λέγοντος· "6Ἀφε-στηκότες ἐπὶ τῆς γῆς γραφήσονται"6. χηι, 12–14. Αἱ χεῖρες αὐτοῦ ἐπὶ πάντας καὶ αἱ χεῖρες πάντων ἐπ' αὐτόν, καὶ κατὰ πρόσωπον πάντων τῶν ἀδελφῶν 247 αὐτοῦ κατοικήσει. Καὶ ἐκάλεσεν Ἁγὰρ τὸ ὄνομα Κυρίου τοῦ λαλοῦντος πρὸς αὐτήν· Σὺ ὁ Θεὸς ὁ ἐπιδών με, ὅτι εἶπεν· Καὶ γὰρ ἐνώπιον εἶδον ὀφθέντα μοι. Ἕνεκεν τούτου ἐκάλεσεν τὸ φρέαρ Φρέαρ οὗ ἐνώπιον εἶδον ἀνὰ μέσον Καδὴς καὶ ἀνὰ μέσον Βάραδ. Ἐν τοῖς προαναγνωσθεῖσιν ἄγγελος ἦν Θεοῦ ὁ πρὸς αὐτὴν λαλ̣ῶ̣ν̣, νῦν δὲ Κύριον καὶ Θεὸν αὐτὸν ὀνομάζει, καὶ ὁ μὴ ἀπαλλάττων αὐτὸν πραγμάτων ἐρεῖ ὅτι ὁ ἄ[γ]γελος οὐκ ἰδίους λόγους διηκόνει ἀλλὰ τοὺς τοῦ Θεοῦ ὡς οἱ πρ[ο]φῆται· τρόπον γάρ τινα καὶ οἱ ἄγγελοι ὅτε διακο- νοῦσιν τὴν ··[···]·ιν καὶ προθεσπίζουσιν τὰ ἐσόμ̣ενα ἔργον προφητῶν ··· ποιοῦσιν ·μ··· ··· ···ν καὶ τὸ ἄγγελος ὄνομα ἐνερ[γεί]α̣ς κ̣αὶ οὐκ οὐσίας ἐστὶν παραστα- τ̣ι̣κ̣ὸν ὡς καὶ τὸ προφ··[ ]τη τῇ προσηγορί̣ᾳ ··· ··· ··· [···] ··· ··· ··· ··· ··· ··· ·ων ··ε̣ννου ···· ἄγγελος ··[···] ἄγγελοι ··· ··· ··· ··· ··· ··· τὰ Θεοῦ ἐλάλησεν ὁ ἄγγελος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

[···]···ν ὠνόμασεν διὰ τὸν ἐνοικοῦντα, καθὰ καὶ Ἠσαΐας [προ]- φητεύων ποτε μὲν ἀπὸ τοῦ ἰδίου προσώπου ὡς ἔχων το̣ ̀ [πνευματι]κὸν ἐν ἑαυτῷ λαλεῖ, ποτὲ δὲ ὡς τὸ Θεοῦ προφέρων πρό[σω]πον, μὴ προειπὼν δὲ "6λέγει Κύριος"6 ὡς ὅταν λέγῃ· "6Ἐγὼ ἐ[ποί]ησα γῆν καὶ ἄνθρωπον ἐπ' αὐτῆς"6, ἀπὸ δὲ τοῦ Κυρίου ἀπαγγέλ<λ>ει ·[·]τ·ν φαινε··· ··· ··· γη· "6Ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ, [ὅτ]ι Κύριος ἐλάλησεν"6. Τοῦτό φαμεν ὡς οὐ πάντων τῶ[ν] λόγων δι' αὐτοῦ προφερομένων ἀλλ' ὡς μετουσίας [χ]αριζομένης καὶ αὐθεντίαν καὶ διὰ τὴν ἐνοίκησιν τοῦ [Θεοῦ] θεῶν ὀνομαζομένων τῶν μετεχόντων. Ἀμέλε[ι γο]ῦν καὶ Μωσεῖ λαλῶν ἄγγελος ἐρρέθη· <***> γάρ· "6Καὶ ἐκάλεσε[ν] 248 α̣ὐτὸν ἄγγελος Κυρίου καὶ εἶπεν· Ἐγὼ Θεὸς Ἀβραὰμ καὶ Θεὸς Ἰσαὰκ καὶ Θεὸς Ἰακώβ"6. Ὡς πρὸς τὸ διακονεῖνοῦν ἀγγέλων εἰσὶν λόγοι, ὡς δὲ πρὸς τὴν δύναμ̣ιν Θεοῦ. Καὶ αὕτη μὲν ἡ πρώτη ἀπόδοσ̣ις ···· ··· ··· ἔστιν δὲ καὶ ἄλλη εἰσαγωγικῷ τ̣ο̣ι̣αύτη· ε̣ἰ̣σ̣ι̣ ̀ θεοὶ πολλοὶ καὶ κύριοι πολλοὶ ἐν τῷ οὐρανῷ κ̣αὶ ἐπὶ τῆς γῆς, θεοὶ δὲ οὐ τὰ εἴδωλα ἢ δαίμονε̣ς ἀ̣λλ' ἐ̣κεῖνο̣ι̣ προ̣ ̀ς οὓς γέγονεν ὁ θεοποιή[σα]ς αὐτούς. Ἐὰ̣ν πρὸς ἀν[θρώπου]ς γέ̣ν̣ηται ὁ τοῦ Θεοῦ λόγος, οἱ ἄνθρωποι [θ]ε̣οποιοῦνται ε··· ··· ··· ·· ην ὅτε̣ ὁ Θεοῦ λόγος ο̣ραγ[·]··· ··ε̣σ̣τ̣ιν. Λέγετα̣ι γοῦν θεῶν ··· ·· κατὰ τὸ "6Θεὸς [θ]εῶν Κύριος ἐλάλησεν"6, δηλονότι τῶν κατὰ μετουσία[ν ·]··· τῶν π̣ο̣ιησάντων ··· · Θεοῦ λόγον κατὰ τουτο·ς [···]·νομένων. Καὶ ὁ ὀφθεὶς ··α··· ·· ὁ Κύριος ὠνομάσθη ·[··]···ει μὴ κ̣αὶ διὰ τουτ····ει ··· ··· ··· ὁ Θεὸς ἀλλὰ "6 Σὺ ὁ Θεὸ[ς ὁ ἐ]πιδών με"6 ε·· ε··· ··· ··· ····· ·· θεο-ποιουμένων [····] Καὶ ··· ·· δὲ τὸ εἰλικρινε̣ ̀ς τῆς ὀπτασίας ἐπήγαγεν· "6 Καὶ γ[ὰρ ἐ]νώπιον εἶν ὀφθέντα μοι"6, δῆλον δὲ ὡς οὐ σαρκὸς ὄμ̣μ̣[ασι]ν ἀ̣λλὰ δια̣ν̣οίας καθὸ εἴρηται· "6 Μακά-ριοι οἱ καθαροὶ τῇ κα[ρδ]ία̣ ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται"6· ἐμφανίζεται γὰρ τοῖς μὴ [ἀ]πιστοῦσιν αὐτῷ. Ἀγαθότητ̣ι̣ γὰρ ο̣ ̔ Θ̣εὸς ἑαυτὸν εἰς καταν[όη]σιν παρέχει, ἀδυνάτου οὔ̣σ̣ης τῆς γενητῆς φύσεως ἰδεῖν [μὴ] αὐτοῦ ἑαυτὸν ἐπιδιδόντος εἰς θεωρίαν πρὸς τὴν ἑκάστο[υ τ]ῆς πίστεως ἀναλογίαν. Φρέαρ τ· δὲ καὶ τὸ συγγραφικὸν π[νεῦμα] ···· λέγειν· "6Ἕνεκεν τούτου ἐκάλεσεν τὸ φρέαρ Φρέαρ οὗ ἐ[νώ]πιον εἶδον"6· φρέαρ γὰρ αν··· ··· ἐστιν ἡ τῶν πρεπόντω[ν] κατανόησις· τὸ γὰρ ὄνομα ··· ··· τ̣ῶν πολλάκις ἐπὶ νοητῶ̣[ν λαμ]βάνεται· "6 Πίνε ὕδατα ἀπὸ σῶν 249 ἀγγείων καὶ ἀπὸ σῶν φρεάτων πηγῆς"6. Ἡ μὲν ἀρχὴν τοῦ ··· · του·· να··· ··· ··· ··· ··· ··· ··α τ̣ὴν ἀρχὴν γινομ··· · θεωρήματ̣α̣ ῥαίνοντα τὰ φρέατά ἐστιν τῆς πηγῆς, ἥτις ἡ περὶ Θεοῦ ὀρθὴ κατάληψις, τῶν φρεάτων ὄντων τῶν θείων λόγων. Εὖ δὲ καὶ τὸ "6ἀνὰ μέσον Καδὴς καὶ ἀνὰ μέσον Βάραδ"6 τεθεᾶσθα̣ι τὴν ὀπτασίαν τ̣ο̣ῦ̣ <δι>δασκαλικοῦ λ̣ό̣γ̣ο̣υ· ἑρμηνεύεται μὲν γὰρ Καδὴςἁγία, Βάραδ δὲ ἀστραπή. Ἐμμ[έσ]ῳ̣ οὖν τούτων τοῦ τε ἁγίου, οὗπερ μ̣η̣ ̀ν ὑπάρχει θ··· ··· ···[··], καὶ ἐμμέσῳ ἀστραπῆς, φωτεινῆς κατα-στάσεως, ἡ παίδευσι[ς] η̣ ̔ θεία γίνεται· "6Ἔφαναν γὰρ αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ"6. χηι, 15–16. Καὶ ἔτεκεν Ἁγὰρ τῷ Ἀβρὰμ υἱὸν καὶ ἐκάλεσεν Ἀβρὰμ τὸ ὄνομα τοῦ υἱοῦ αὐτοῦ ὃν ἔτεκεν Ἁγὰρ Ἰσμαήλ. Ἀβρὰμ δὲ ἦν ὀγδοήκοντα ἓξ ἐτῶν ἡνίκα ἔτεκεν Ἁγὰρ τὸν Ἰσμαὴλ τῷ Ἀβράμ. Πιθανὸν μὲν ἂν λέγοιτο ὅτι πρὸς κατάστασιν σεμνότητος καὶ γνησιότητος κεῖται μετὰ παρατηρήσεως τὸ "6ἔτεκεν <Ἁγὰρ τῷ> Ἀβρὰμ υἱόν"6, σαφῆ δὲ πρὸς τὸ ῥητὸν τὰ ἑξῆς· ἴδωμεν δὲ καὶ τὰ πρὸς ἀναγωγήν. Ὁ προκόπτων ὅτε πρὸς τὸν σκοπὸν τοῦ διδασκάλου τίκτει, οὐκ εὐκα-ταφρόνητόν ἐστι τὸ τικτόμενον. Τὸ κατάλληλον οὖν παρί-σ<τα>ται τὸ λόγιον τοῦ γεννήματος πρὸς τὸν ὀρθῶς παιδεύοντα καὶ σπείροντα τὸ ὠφελοῦν ··· εἶπ̣εν "6ἔτεκεν Ἁγὰρ τῷ Ἀβράμ"6. Ὅτι δὲ τοῦτο οὕτως ἔχει ···· παρέσχον τῆς γραφῆς λεγούσης, ἐπιφέρεται· "6 Καὶ ἐκάλεσεν Ἀβρὰμ τὸ ὄνομα <τοῦ υἱοῦ> αὐτοῦ"6, καὶ ἐπάγει "6ὃν ἔτεκεν αὐτῷ"6· εἰ γὰρ μὴ ἔννοιαν, ἣν ἀποδε···α ··· εἶχεν το··υτ··, ἠρκεῖτο τῷ "6καὶ ἐκάλεσεν Ἀβρὰμ τὸ ὄνομα τοῦ υἱοῦ αὐτοῦ"6, οὐ προσθεὶς τὸ "6ὃν ἔτεκεν αὐτῷ"6. Καὶ ταῦτα μὲν ἐπ̣ι̣ ̀ τοσοῦτον· ἴδωμεν δὲ καὶ το̣ ̀ περὶ τ̣ῶν ἀριθμῶν τῶν ἐτῶν τοῦ πατριάρχου· εἴρηται γάρ· "6Ἀβρὰμ δὲ ἦν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὀγδοήκοντα ἓξ ἐτῶν ἡνίκα ἔτεκẹν Ἁγὰρ τὸν Ἰσ̣μαὴλ τῷ Ἀβράμ"6. Ἀμφότεροι τοίνυν οἱ ἀριθμοὶ 250 ......................................................α .....................................................ṭω̣ ....................................................... ....................................................... ......................................................ς .....................................................τω .......................................................

**χηι, 1.** Ẹ̓γέ̣νẹτọ δẹ̀ Ἀ̣βρὰ̣μ ἐ̣τω̣̃ν ἐ̣νẹνή̣κọντạ ἐ̣ννέ̣ạ ḳαὶ̣ ὤφθη Κύριος τῷ Ἀβρὰμ ḳαὶ̣ εἰ̣̃π̣ẹν α̣ὐ̣τῷ· Ἐγώ εἰμι ὁ Θεός [σου], εὐαρέστει ἐνάντιον ἐμοῦ καὶ γίνου ἄμεμπτος. Ὁ ἑκατὸν ἀριθμὸς συντελεῖται ἐκ δέκα τῶν δέκα· οὗτοι δ' οἱ ··· ··τοις κυλιόμενοι ἐλέχθησαν εἶν̣α̣[ι] τετράγωνοι, τὸ δὲ τετρ[άγωνο]ν σχῆ-μα βέβαιόν ἐστιν. Ἀμέλει γο[ῦν] ··· ·επα ··· ··· ·· τῇ ἀγνωσί̣α̣ ·· ··· ··ως ἔσται ....................α.................. πρώτην ...........................ẹσ̣ω α̣ρετη...................... ...............................αυτω π................ον ··· .......................ṭẹλιότης ἐπὶ το ·σ.................. ............................δυ ···εις ε.................λησ· ....................................................νχα .....................................νω............... ··· ··εν τω...........αηλ δ··· ··· ·· πο................κον ··· ··· ·ωρητ·ον· πάλιν οὖν ὤφθη τῷ Ἀβρ̣ὰ̣μ ὁ Θεὸς ··· ··· ··· ··· ··· ··· φι̣λ̣άνθρωπ̣ο̣ς εἰς τὸ ὀφθῆναι καταξιῶν αὐτοῦ εἶναι Θεὸς λέγων "6Ἐγώ εἰμι ὁ Θεός σου"6. Ἔστιν δὲ τῶν ἁγίων Θεὸς ου̣·····ων ἀ̣λλὰ̣ καὶ πάντων μὲν οὐρανọυ̣̃ καὶ γῆς καὶ τῶν ἐν αὐτοῖς δημιουρ[γὸς] ὤν, ἐξαιρέτως κατὰ λατρείαν αὐτῶν Θεὸς γινόμενος ου··· · [··] εἴρηται· "6Ὁ Θεός, ὁ Θεός μου"6, δηλοῦντος τοῦ λόγου ὅτι ὁ πάντων Θεὸς καὶ ἐμοῦ καὶ ὡς δουλεύοντός σοι Θεὸς τυγχάνεις. Ἀλείφω̣ν̣ δὲ αὐṭὸν ε̣ἲ̣ς ἀγῶνα καὶ παρασκευὴν ἀνδρείας ἐπάγει τὸ "6 Εὐαρέστει ἐ̣ναντίον 251 ....................................................... τọ..................................................... ....................................................... ....................................................... ....................................................... το...................................................... **χηι, 2.** Καὶ θή̣σ̣ọμ̣α̣ι τὴ̣ν δ̣ια̣[θήκην μου ἀνὰ] μ̣έ̣σ̣ο̣ν ἐ̣μ̣ọυ̣̃ κ̣α̣ὶ̣ ἀ̣νὰ̣ μ̣έ̣σ̣ο̣ν σοῦ κα̣ὶ̣ π̣λ̣η̣θ̣υ̣ν̣ω̣̃ σ̣ε̣ [σφόδρα. ] Ὡς...........[··· ··· ··· ·]......................... ................[··· ··· · ἐνα]ν̣τ̣ί̣ο̣ν ἐμοῦ γίνου ἄμεμπτος ................[··· ··· ··· ·]··ς κληρονομίας ···ουτα̣ ·ε̣παγ-γελ ··· ἑαυτὸν πληθύνειν ··· ·· κατὰ τὸ ῥητὸν ···εσχεν οὐ θαῦμα δὲ τοῦτο. Καὶ γὰρ ἄλλα̣ ἔ̣θ̣ν̣η πολυάνθρωπα γεγόνασιν **χηι, 3.** Ḳα̣ὶ̣ ἔ̣π̣ε̣σ̣ε̣ν Ἀ̣β̣ρ̣ὰ̣μ̣ ἐ̣π̣ὶ̣ π̣ρ̣ό̣σ̣ω̣π̣ο̣ν α̣ὐτοῦ................................................. ....................................................... ....................................................... ·ν...................................................... εισ̣.................................................... νον.................................................... ....................................................... οι··· ··· ··αν........................................ χαίροντες ἅμα κα̣ὶ̣ καταπληθ̣υ̣νόμενοι ὡς καὶ ὁ πατριάρχης. **χηι, 3–6.** Καὶ ἐλάλησεν αὐτῷ ὁ Θεὸς λέγων· Καὶ ἐγὼ ἰδοὺ ἡ διαθήκη μου με-τὰ σοῦ καὶ ἔσῃ πατὴρ πλήθους ἐθνῶν. Καὶ οὐ κληθήσεται τὸ ὄ-ν̣ο̣μ̣ά̣ σου Ἀβρὰμ ἀλλ' ἔσται τὸ ὄνομά σου Ἀβραάμ, ὅτι πατέ-ρα̣ πολλῶν ἐθνῶν τέθεικά σε. Καὶ αὐξανῶ σε σφόδρα σφό-δρα. Πάλιν Κύ̣ρ̣ι̣ο̣ς μ̣ε̣τ̣ὰ τὸ πεσεῖν βεβαιοῖ τὴν ἐπαγγελίαν λέγων αὐτῷ ὅτι α̣ὐ̣τ̣ὸ̣ς σ̣ὺ̣ν α̣ὐτῷ διαθήσεται διαθή̣κ̣ην· ἔσῃ δὲ πατὴρ πλήθους



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.